Ἐν δὲ Ἰχθύσιν ὕπαυγος μὲν χαλαζώδης καὶ κατακλυστικός ἐστιν· ἑσπέριος δὲ εὔκρατος· ἑῷος δὲ γαληνότατος. F. C.

1 ἔνικμος et ἑσπερία δὲ in rasura L. 4 δὲ in rasura L. 13 καὶ ante βλαστ. omis. T. 24 εὔκερος L, cf. p. 83, 23. 30 et 32 ἑσπέριος δὲ evanid. in T. 36 κρυσταλώδης T.

F. 62. Περὶ τοῦ ποῦ ἐστι τὸ κλαπέν[1].

Βλέπε τὸν κύριον τοῦ ὡροσκόπου καὶ τὸν κύριον τῆς Σελήνης καὶ τὸν κύριον τοῦ δευτέρου τόπου καὶ τὸν διέποντα καὶ εἰ εὑρέθη ὁ κύριος τοῦ δευτέρου τόπου ἐν τῷ ὡροσκόπῳ ἢ εἰς ἓν τῶν κέντρων ἀπὸ τοῦ ὡροσκόπου ἤτοι εἰς τὸν τέταρτον τόπον ἀπὸ τοῦ τόπου ἔνθα ἐστὶν ὁ κύριος τοῦ ὡροσκόπου ἢ ὁ διέπων [ἢ ὁ κύριος τοῦ ὡροσκόπου] ἢ ὁ κύριος τῆς Σελήνης ἢ ὁ κύριος τοῦ τετάρτου ἢ εἰς τὸν τέταρτον τόπον ἢ εἰς ἓν τῶν κέντρων ἀπὸ τοῦ ὡροσκόπου, γίνωσκε ὅτι τὸ κλαπὲν εἰς τὸν οἶκόν ἐστιν ἀφ' οὗ ἐκλάπη· εἶτα ὅρα τὸν τέταρτον τόπον, καὶ εἰ μέν ἐστι τὸ ἐν αὐτῷ ζῴδιον ὑδατῶδες, τὸ κλαπὲν πρᾶγμα πλησίον ἐστὶν ὕδατος οἷον κιστέρνης, φρέατος, μιλιαροστασίου καὶ τῶν ὁμοίων· εἰ δὲ πυρῶδες, ἔστιν πλησίον ἑστίας, φούρνου, μαγειρείου, καὶ τῶν τοιούτων· εἰ δὲ ἀερῶδες, εἰ μὲν Δίδυμοί εἰσιν, εἰς σενδούκιόν ἐστι τὸ κλαπὲν ἢ εἰς τοιχοαρμάριον ἢ εἰς † σκεβροαβάκ(ιον)· εἰ δὲ Ζυγός, εἰς ἀνώγεων ἢ τόπον ὑψηλὸν καὶ ἔμφωτον· εἰ δὲ πυρῶδες, εἰ μὲν Κριὸς ἢ Αἰγόκερως, εἰς τόπον προβάτων ἢ αἰγῶν· εἰ δὲ Τοξότης, εἰς τόπον ἁρμάτων καὶ πολεμικῶν ἔργων καὶ ἵππων· εἰ δὲ Λέων, εἰς τόπον φαλκωνίων, ἱεράκων, λαγωδίων, πάρδων καὶ τῶν ὁμοίων· εἰ δὲ Σκορπίος, εἰς τόπον βοῶν ἢ εἰς χωράφιον καὶ εἰργασμένην γῆν· εἰ δὲ Παρθένος, εἰς τόπον σίτων καὶ κριθῆς καὶ τῶν τοιούτων.

Εἰ νέος ὁ κλέπτης ἢ μέσος ἢ γέρων.

Βλέπε τὸ τεκμήριον τῶν προειρημένων τόπων ἤτοι τοῦ κυρίου τοῦ β' τόπου <καὶ> τοῦ μεσουρανήματος καὶ τὴν Σελήνην εἰς ποῖον δεκανὸν εὑρίσκεται τοῦ ζῳδίου, ἆρα εἰς τὸν πρῶτον δεκανόν ἐστιν, ἢ εἰς τὸν δεύτερον, ἢ εἰς τὸν τρίτον, καὶ εἰ ἔστιν ἀνατολικὸς ἢ δυτικὸς ἢ οὐ δυτικός. καὶ εἰ μὲν εὑρέθη εἰς τὸν πρῶτον δεκανὸν τοῦ ζῳδίου καὶ ἔχει ἀνατολικὴν φάσιν, ἔσται νέος, εἰ δὲ εἰς τὸν δεύτερον δεκανόν, οὐκ ἔχει δὲ φάσιν οὔτε ἀνατολικὴν οὔτε δυτικήν, ἔσται μέσος, εἰ δὲ εἰς τὸν ἔσχατον δεκανὸν ἤ ἐστι δυτικός, ἔσται γέρων.

T(aurinensem) descripsi, P(arisinum) 2506, f. 52v et V(enetum) 7 [Marc. 334] f. 193 contuli. 5 τὸν omis. P : ἢ εἰς δ' τόπον V. 9 ἐκλάπει V. 10 ἐστι obscur. in T. 11 κηστέρνης P : κινστέρνης V : evan. in T. μελιαροστασίου P : μελιοροστασ' V : omis. T. 12 πυρῶδες εἰ μὲν ♊ P. μαγειρίου V. 13 συνδούκιον P : σινδούκιον T : σενδουκ' V. 14 σκεβροαβακ(ίον) T, V : σκεβροαβαξ' P. An σκευοαβάκιον? ἀνώγεων V : ἀνωγ' T. 15 ἔμφωτον] Cave ἔμφυτον conicias. 16 ἁρμάτων iter. P. 17 τόπων P. 18 λαγωνικῶν (γ e corr.) T : λακωνικῶν P, V : correxi. 19 ἐργασμένην codd. 21 — P, f. 53v; V, f. 300. 21 ὁ κλέπτης omis. P, V. 23 καὶ addidi. 24 ἐστὶν ἢ omis. P, V. 25 οὐ δυτικός. An οὐδέτερος? 26 εὑρεθῇ T. ἔχῃ T. 29 ἔσχατον P.

[1] Haec de furtis et furibus capitula auctoris cuiusdam Byzantini non tam propter doctrinam quam propter sermonem edidimus. Glossarum enim studiosis uberem novorum vel rariorum vocabulorum praebebunt messem.

Περὶ τοῦ εἴδους τοῦ κλέπτου.

Εἰ ὁ Κρόνος εὑρέθη τεκμήριον ὢν τοῦ κλέπτου, ἔστι δὲ καὶ εἰς τὸν αὐτοῦ οἶκον, ἔσται μελάγχρους ἢ μαῦρος, μικρόφθαλμος, κάτω βλέπων ὅταν ὁδοιπορῇ, δειλός, βαθύς, ἀργός, σκυθρωπός. εἰ δὲ ὁ Ζεύς ἐστι τὸ τεκμήριον, ἐστὶ δὲ καὶ εἰς τὸν αὐτοῦ οἶκον, ἔσται μαργαριταρόχροος ἢ σιτόχροος, εὐόφθαλμος, καλόφρυς, καλόσαρκος, εὐπώγων· εἰ δὲ ὁ Ἄρης ἐστίν, ἔστι δὲ καὶ εἰς τὸν αὐτοῦ οἶκον, ἔσται πυρρός, ξανθός, γλαυκόφθαλμος ἢ ἱερακόφθαλμος, καλόσαρκος, ἀπότολμος· εἰ δὲ ἡ Ἀφροδίτη εὑρέθη ὡς εἴπομεν, ἔσται μαργαριταρόχροος, εὐόφθαλμος, λαγνόφρυς, καλόσαρκος, παχύκνημος, μεγαλοπρόσωπος, καλόθριξ· εἰ δὲ ὁ Ἑρμῆς εὑρέθη ὡς εἴπομεν, ἔσται μελάγχρους, ὑποκίτρινος, σύντομος, εὐθύγλωσσος, καλόθριξ· εἰ δὲ εὑρίσκεται εἷς τῶν ἀστέρων εἰς τὸν ἑτέρου οἶκον, σύγκρινε τὴν δύναμιν ἀμφοτέρων καὶ οὕτως ἀποφαίνου.

Περὶ τοῦ εἰ πλησίον ἐστὶν ἢ πόρρω τῆς συγγενείας.

Βλέπε τοὺς δύο φωστῆρας καὶ εἰ μὲν βλέπουσιν ἀλλήλους ἀπὸ σχήματος τριγώνου ἢ ἑξαγώνου, βλέπουσι δὲ καὶ τὸν ὡροσκόπον, δηλοῖ ὅτι ὁ κλέπτης ἴδιός ἐστιν· εἰ δὲ ἀλλήλους μὲν βλέπουσι, τὸν ὡροσκόπον δὲ οὐδαμῶς, δηλοῖ ὅτι γνώριμός ἐστι καὶ εἰσέρχεται εἰς τὸν οἶκον, οὐκ ἔστι δὲ ἴδιος· εἰ δὲ οὐ βλέπουσιν ἀλλήλους οἱ δύο φωστῆρες οὐδὲ τὸν ὡροσκόπον, ξένος ἐστίν· εἰ δὲ βλέπει ὁ εἷς αὐτῶν τὸν ὡροσκόπον μόνον, τὸν δὲ ἕτερον οὐ βλέπει, ἀπὸ τοῦ οἴκού ἐστιν· εἰ δὲ ἀπὸ τούτων οὐδὲν νοεῖς ἔνθα ἐστίν, ἔσθ' ὅτε δὲ βλέπε τὸν ὄντα εἰς τὸν δεύτερον τόπον, καὶ εἰ ἐστι κακοποιὸς ἐκεῖνος, ἐστὶ τὸ τεκμήριον τοῦ κλέπτου· [ἢ βλέπει κακοποιὸς οἷον] ἐὰν οὐ λάχωσιν οὕτως οἱ ἀστέρες, βλέπε τὸν κύριον τοῦ Ζ' τόπου καὶ τὸν ἀστέρα ᾧ συνάπτει ἡ Σελήνη, καὶ εἰ ἔχει τις ἐξ αὐτῶν λόγον πρὸς τὸν ὡροσκόπον, οἷόν τις ἐστὶν ὁ ὁριοκράτωρ ἢ ὑψοκράτωρ ἢ οἰκοδεσπότης αὐτοῦ, δηλοῖ συγγενῆ εἶναι τὸν κλέπτην.

Τίνι ἐδόθη τὸ κλαπέν.

Εἰ εὕρῃς τινὰ ἀστέρα ἀναμεταξὺ τοῦ ὡροσκόπου καὶ τοῦ τετάρτου τόπου ἢ ἀναμεταξὺ τοῦ τεκμηρίου τοῦ κλέπτου μέχρι ο' μοιρῶν, ἐκεῖνον λέγε εἶναι τὸν κλέπτην <ἢ> ἀποδέκτην.

Paris., f. 53v; Venet., f. 205. 1 τοῦ κλέπτου omis. P. 2 εὑρεθῇ V. ὢν V : ὂν P, T. 2-3 τὸν αὐτὸν P, V : τὸν αὐτοῦ T : corr. 4 δεινὸς V. βαθὺς] An βραδὺς? Saturnus enim lentus est. 5 τὸ omis T, V. αὐτοῦ codd., ac sic deinceps. 6 ὁ ante Ἄρης omis. T. 7 πυρὸς P, T : π. ρὸς (*sic*) V. 9 μαργαριτόχροος T, sed cf. v. 5. 10 λυγνόφρυς codd. : corr. 11 μεγαλόχρους T. 14 — P, f. 53; V, f. 205v. τῆς συγγενείας omis. V ut vid. 16 καὶ - δηλοῖ evan. in T. 18 δηλοῖ evan. in T. 19 οὐ βλέπουσι iteratum exp. T. 20 ὁ εἷς evanid. T. αὐτῶν T, V : αὐτὸν P. 21-22 ***Si ex his non intelligis ubi sit (fur), interdum spectare iuvat planetam in secundo loco...*** 24 ἢ - οἷον seclusi, videntur ἢ βλέπει κακοποιὸν post ἐκεῖνος transferenda esse. 24 εἰ οὐ λάχουσιν P, V. 26 ὁ omis. P. 28 ss. Capit. Τίνι - κλαπέν omis. T. — P, f. 53; V, f. 300r. 30 ἐκεῖνο V. 31 ἢ inserui.

F. 62ʳ. Εἰ ἄρρην ὁ κλέπτης ἢ γυνή.

Βλέπε τὸ τοῦ κλέπτου τεκμήριον καὶ τὸν ἀστέρα ᾧ συνάπτει ἡ Σελήνη καὶ τὸν κύριον τοῦ ζ′ τόπου καὶ εἰ εἶσιν ἀρσενικοὶ ἢ ** εἰ μὲν εἰς τὸν ὡροσκόπον εὑρέθη ἀστὴρ μὴ ὢν κύριος τοῦ ὡροσκόπου, ἐκεῖνός ἐστιν ὁ κλέπτης· εἰ δὲ μή, βλέπε τὸν ζ′ τόπον καὶ ὃν εὕρῃς ἐκεῖσε, κἂν τε κύριός ἐστι τοῦ αὐτοῦ τόπου κἂν τε μή, ἐκεῖνός ἐστιν· εἰ δὲ μή, βλέπε τὸν ὄντα εἰς τὸν ιβ′ τόπον, εἰ δ' οὐδὲ ἐκεῖ ἐστί τις, βλέπε τὸν θ′· εἰ δ' οὐδ' ἐκεῖ ἐστί τις, βλέπε τὸν κύριον τοῦ ζ′ τόπου καὶ εἰ μέν ἐστιν εἰς ζῴδιον ἢ εἰς τεταρτημόριον ἀρσενικὸν ἢ ἐὰν ᾖ ἀνατολικῆς φάσεως, τὸ τεκμήριον τοῦ κλέπτου ἄρρεν ἔσται, εἰ δὲ τὸ ἀνάπαλιν, θηλυκόν.

Περὶ τοῦ ποίῳ τρόπῳ ὁ κλέπτης εἰσῆλθεν.

Βλέπε τοὺς ἑπτὰ ἀστέρας καὶ τὸν κύριον τοῦ δευτέρου τόπου καὶ τοῦ μεσουρανήματος καὶ τὴν Σελήνην καὶ εἰ μὲν ὁ Κρόνος ὁρᾷ τὸν κύριον τοῦ δευτέρου τόπου ἢ τοῦ μεσουρανήματος ἢ τὴν Σελήνην, ὁ κλέπτης εἰσῆλθε διὰ μηχανῆς τινος λάθρα ἢ κατὰ τὸν νυκτερινὸν καιρὸν ἢ ἐξηλώσας τὴν θύραν· εἰ δὲ ὁ Ἄρης, φανερῶς καὶ ἀναισχύντως ἢ συντρίψας τὴν θύραν ἢ ὀρύξας τὸν τοῖχον ἢ ἀνῆλθεν ἀναρριχώμενος ἢ διὰ σκαλωσίας· εἰ δὲ ὁ Ζεύς, ὁ κλέπτης οὐκ ἦν κλέπτης οὐδὲ ἔκλεψεν ἐνεργῶς ἀλλὰ μετριάζων· εἰ δὲ ἡ Ἀφροδίτη, ὁμοίως τὰ αὐτὰ δηλοῖ· καὶ εἰ ὁ Ἥλιος ἢ ἀπὸ τριγώνου ἢ ἑξαγώνου βλέπει τῶν προειρημένων τόπων τοὺς κυρίους καὶ τὴν Σελήνην *** εἰ δὲ ἀπὸ τετραγώνου ἢ διαμέτρου ἢ συνόδου, εὐγενῆ δηλοῖ τὸν κλέπτην εἶναι καὶ ἐνεργῶς κλέψαι. εἰ δὲ ὁ Ἑρμῆς βλέπει τοὺς προειρημένους, συνάπτει δὲ καὶ τῷ Ἄρει καὶ τῷ Κρόνῳ ἢ βλέπει αὐτούς, δηλοῖ ὅτι εἰσῆλθε διὰ δόλου καὶ μηχανῆς· πλὴν εἰ μὲν ὁ κύριος τοῦ β′ τόπου κακοῦται παρὰ τῶν κακοποιῶν ἢ ἐστι κεκαυμένος, ἀπολεῖται τὸ κλαπὲν παντελῶς· εἰ δὲ βλέπει τοὺς κακοποιοὺς ἀπὸ τριγώνου ἢ ἑξαγώνου, μέρος μὲν ἀπολεῖται, μέρος δὲ οὔ· εἰ δὲ οἱ ἀγαθοποιοὶ βλέπουσιν αὐτόν, ἅπαν εὑρεθήσεται τὸ κλαπέν. F. C.

1 Εἰ ἀρρὲν ἐστίν (cet. omis.) P, V. 2 τοῦ omis. P. 3 lacunam sign. Kroll. 5 βλέπει P : βλέπ′ V. β′ τόπον T. 7 οὐδ ἐκεῖ T, V. 8 βλέπε τὸν θ′ - τις omis. T. 8-9 Post τόπου lacun. circ. 33 litt. in P; in apographo suo, Paris. 2424, al. m. supplevit καὶ εἰ μέν ἐστι εἰς, quod V in textu habet: τόπου εἰ εἰς ζῴδιον sine lacuna T. 9 ᾖ T : ἐστι P, V. 10 ἄρρην T. 12 — P, f. 53; V, f. 300. 14 Κρόνος] κύριος codd.; corr. 17 θήραν P. 21 εἰ omis. P, V. ἢ ante ἀπὸ omis. P; ἢ ἀπὸ $γ^{ω}$′ ἢ $ς^{ω}$′ V. τὸν προειρημένον τόπον V: τ(ῶν) προειρημέν(ων) τόπ(ων) e corr. T. Post Σελ. lacunam sign. Kroll. 23 ἢ συνόδου T : ἢ cum signo quod pro διάμετρος usurpatur P, V. 25 αὐτούς scripsi : αὐτόν codd. 26 παρὰ T : πρὸς P, V. 27 τὸν κακοποιόν V. An κεκακωμένος? 28 ἢ $ς^{ω}$′ V.

F. 68. Περὶ καιρῶν ταραχῆς, ἐμπρησμοῦ, σεισμοῦ καὶ καταποντισμοῦ.

Βλέπε τὴν Σελήνην ὅτε ἐστὶν ὕπαυγος καὶ ἐὰν λάχωσιν οἱ δύο φωστῆρες εἰς τὸν δωδέκατον τόπον ἀπὸ τῆς ὥρας τῆς συνόδου εἰς ζῴδιον ὑδατῶδες καὶ βλέπῃ κακοποιὸς ἐν τῷ ὑπογείῳ, κατὰ τὴν ἡμέραν ἐκείνην γενήσεται θόρυβος ἢ σεισμός· ὁμοίως καὶ ἐὰν τύχῃ εἰς ἀπόκλιμα ἀπὸ μεσημβρίας καὶ βλέπῃ κακοποιὸς εἰς ὑπόγειον, δύο τινὲς ἐν ὕδατι πνιγήσονται· καὶ εἰ εὑρέθη ἡ Σελήνη εἰς τὰς αὐγὰς τοῦ Ἡλίου καὶ τετραγωνίζει ἢ διαμετρεῖ κακοποιὸν ἐν τῷ ὑπογείῳ καὶ ἔστιν εἰς ζῴδιον πυρῶδες, γίνεται ἐμπρησμός· ὅτε δέ εἰσιν οἱ δύο φωστῆρες εἰς τὸν δωδέκατον τόπον ἢ εἰς τὸν ἔνατον τόπον, εἰ μὲν λάχοι ἡ σύνοδος εἰς τὸν δωδέκατον τόπον, γενήσεται θόρυβος πρωΐ· εἰ δὲ εἰς τὸν ἔνατον τόπον, τὸ δειλινόν· εἰ δὲ ἐν ἑσπέρᾳ γένοιτο ἡ σύνοδος, ὁ θόρυβος ἐν νυκτὶ γενήσεται· εἰ δὲ ἡ Σελήνη τύχοι ὕπαυγος καὶ ταπεινοῦται κατὰ τὸ νότιον μέρος ἢ ταπεινοῦται ἐν Ζυγῷ ἢ ἐν Σκορπίῳ, καὶ λήγει καὶ ἀφαιρεῖ τοῖς ἀριθμοῖς, τουτέστιν ὅτε περιπατεῖ κατὰ τὸ ἡμερονύκτιον ἔλαττον τοῦ μέσου δρόμου τῶν ὁμαλῶν κινημάτων καὶ λειψιφωτεῖ ἤτοι ὅτε ἐστὶ κατὰ τὸ τέλος τοῦ μηνὸς καὶ ταπεινοῦται κατὰ τὸ νότιον μέρος, ἤτοι ὅτε ἐστὶν ἀναμεταξὺ τοῦ καταβιβάζοντος ἐννενηκοστὴ μοῖρα καὶ βλέπει ταύτην κακῶς διακειμένην καὶ ἀγαθοποιὸς οὐ <συ>σχηματίζει κατὰ τὸν καιρὸν ἐκεῖνον, κατά τινας τόπους γενήσεται θόρυβος ἢ ταραχὴ ἢ ἐμπρησμὸς ἢ σεισμός· ὁμοίως δὲ καὶ ὅτε συνοδεύει δύο κακοποιοῖς ἐν Κριῷ, γενήσεται ἡ βλάβη εἰς ἄρχοντας καὶ ποιμένας· ὁμοίως λοιπὸν ἀποφαίνου κατὰ τὴν τάξιν τῶν ζῳδίων οἷον εἰ μὲν ἐν τῇ Παρθένῳ τύχοι, εἰς ἀνθρώπους καὶ εἰς τὸν σῖτον καὶ καθεξῆς· σημαίνει δὲ ὁ μὲν Κριὸς ἀρχὴν ἀνατολῆς, ὁ δὲ Λέων τὸ μέσον τῆς ἀνατολῆς, ὁ δὲ Τοξότης τοὺς ὑψηλοὺς τόπους, ὁ δὲ Σκορπίος καὶ τὸ αὐτοῦ τρίγωνον ἀρχὴν τοῦ νότου, οἱ Δίδυμοι ἀρχὴν τῆς δύσεως μετὰ τῶν αὐτοῦ τριγωνοκρατόρων, ὁ δὲ Καρκίνος μετὰ τῶν αὐτοῦ τριγωνοκρατόρων ἀρχὴν βορρᾶ. F. C.

1 T(aurinensem) descripsi; P(arisinum) 2506, f. 64 (c. ρπη΄); Venetum 7 [Marc. 335], f. 295, contuli. Sermonem barbarum corrigere nolui. 3 ἐὰν T : εἰ P, V. 5 ἐν omis. P, T. 6 εἰ τύχει P, V. εἰς om. V. 7 ἀπὸ omis. P. βλέπει V. 8 εἰ P, V : ἐὰν T. εὑρέθη δὲ P. 11 ἔννατον codd. τόπον omis. V. λάχοι omis. V. 12 τὸν δωδέκατον oblitt. in T : τὸν ιβ΄ P. γενήσεται corr., cf. v. 14 : γένηται P : γίνεται T, V. 13 τόπον omis. V. 14 γένηται P, V. 15 ἐν omis. V. 16 ἢ ὅτε V. 19 ἢ ὅτε V. 19-20 ἐννενήκοντα μοῖραι codd., corr. Kroll coll. Firmic. Mat. VIII, f. 101ᵛ. 20 σχηματίζει codd. 21 γένηται P, V. ἢ ταραχὴ omis. T. 22-23 ὁμοίως - ποιμένας omis. T. 23 κακοποιοὺς V. 24 τοῦ ζωδίου οἵην T. εἰς τὴν V. 25 τύχοι T : τύχῃ P : τύχ΄ V. 25-26 Σή(μαινε) δὲ ὅτι ὁ μὲν Κριὸς σημαίνει T. 26 ἀρχὴ P. 28 ἀρχὴ codd. τῆς omis. V. δύσεως omis. T. 28 et 29 τοῦ αὐτοῦ τριγωνοκράτορος T. 29 ἀρχὴ codd. βορᾶ V. — P et V subiungunt : Ἰστέον ὅτι ὁ ὑψούμενος ἀστὴρ κατὰ τὴν ἀρχὴν τοῦ Κριοῦ ἐκεῖνός ἐστιν ὁ κύριος τοῦ χρόνου ἐκείνου, καὶ εἰ μὲν ὁ Ζεὺς ὑψοῦται καὶ ἡ Ἀφροδίτη [Ζεὺς ἢ ἡ Α. ὑψ. V] δηλοῖ εὐθηνίαν, εἰ δὲ ὁ Ἑρμῆς [εἰ Ἑ. δὲ V], μέσον τῶν χρόνων, εἰ δὲ ὁ Κρόνος, ἀστοχίαν καὶ ταραχάς, εἰ δὲ ὁ Ἄρης, πολέμους καὶ φήμας ἐναντίας καὶ πυρκαϊάς· ταῦτα δὲ βλέπε κατὰ τὰς δ΄ τροπὰς καὶ ποῖος ἀστὴρ ὑψοῦται.

F. 71. Λέοντος φιλοσόφου[1] περὶ βασιλέων καὶ ἀρχόντων πῶς ἔστι γνῶναι τὸ μῆκος τῆς ἀρχῆς αὐτῶν καὶ τί γίνεται ἐν τῇ ἀρχῇ αὐτῶν.

Σκόπει τὸν Ἥλιον καὶ ἐάν ἐστιν ἐν τῷ ὡροσκόπῳ ἢ εἰς ἓν τῶν κέντρων καὶ ἐπιθεωρῇ πρὸς τοὺς ἀγαθοποιοὺς ἢ ὁρᾶται ὑπ' αὐτῶν, ἡ βασιλεία ἐκείνη μακροημερεύσει καὶ ὄψεται ἃ ἐπιτέρπεται καὶ ἀγαπᾷ ἀπὸ γαλήνης τῆς βασιλείας αὐτοῦ· καὶ ἐὰν ἐπιθεωρῶσιν ἀγαθοποιοὶ καὶ κακοποιοί, ἔσται ἐν καλοῖς καὶ κακοῖς· καὶ εἰ ἐρωτᾶσαι, καὶ ὁ Ἥλιος τύχοι εἶναι ἐν κακῷ τόπῳ ἤτοι τῷ δωδεκάτῳ ἢ ἕκτῳ ἀπὸ τοῦ ὡροσκόπου, γνῶθι ὅτι ἡ ἀρχὴ αὐτοῦ ὀλίγη ἐστί· καὶ ἐὰν οἱ κακοποιοὶ ἐπιθεωρήσωσιν αὐτόν, ἡ βασιλεία αὐτοῦ ἐν τῷ μηνὶ ἐκείνῳ, ἐν ᾧ ἐψήφισας καὶ ἐρωτήθης περὶ αὐτοῦ, κακοῦται· καὶ ἐὰν ὦσιν οἱ ἀγαθοποιοὶ ἐπιθεωροῦντες αὐτὸν ἐν αὐτῷ τῷ κακῷ τόπῳ, μέτρει ἀπὸ τοῦ ζῳδίου ἐν ᾧ ἐστιν ὁ Ἥλιος ἕως τοῦ ζῳδίου ἐν ᾧ ἐστιν ὁ κακοποιὸς ἐπιθεωρῶν αὐτόν, καὶ οὕτως ζήσεται κατὰ ζῴδιον μῆνα ἕνα· εἰ δέ ἐστιν ὁ Ἥλιος, ὅταν ἐρωτηθῇς, ὄπισθεν τοῦ κέντρου ἤτοι τοῦ β' ἢ τοῦ ε' ἢ τοῦ ια' ἀπὸ τοῦ ὡροσκόπου, καὶ ἐνωτισθῇς περὶ τῆς βασιλείας αὐτοῦ, ἐὰν ὦσιν οἱ ἐπιθεωροῦντες αὐτὸν ἀγαθοποιοί, ἡ βασιλεία γίνεται ταχεῖα, εἰ δὲ κακοποιοὶ ἐπιθεωροῦσιν, ἡ βασιλεία ἐκείνη ἔσται μετὰ βίας καὶ αἱματοχυσίας· εἰ δὲ ἐπιθεωρήσουσιν ἀγαθοποιοὶ καὶ κακοποιοὶ ἅμα, ἔσται ἐν καλοῖς καὶ κακοῖς.

Εἰ δὲ βούλει εἰδέναι πότε γίνεται ἡ βασιλεία ἐκείνη ὑπὲρ ἧς ἐρωτήθης, σκόπει ὅτε ἐρωτήθης τὸν Δία ἐν ποίῳ ζῳδίῳ ἐστὶ καὶ ἀρίθμησον ἀπὸ αὐτοῦ ἕως τῆς Σελήνης ὅσα ζῴδια καὶ μοῖραι μεταξὺ αὐτῶν· καὶ ὅσα ζῴδια πλήρη εὕρῃς, λέγε κατὰ ζῴδιον ἔτος α' καὶ μῆνα α', καὶ ὅσοι εἰσὶ βαθμοὶ ἤτοι μοῖραι, ἡμερ(ῶν) εἰσι καὶ ὡρῶν· εἰ δὲ βούλει γνῶναι ἐν ποίῳ μηνὶ ἔσται ἡ βασιλεία ἐκείνη, δὸς τὸν ἀριθμὸν ὃν εὗρες μεταξὺ Διὸς καὶ Σελήνης ἀπό τε βαθμῶν ἤτοι μοιρῶν ἑκάστῳ ζῳδίῳ ἀπὸ Ἡλίου ἀρξάμενος μέχρις οὗ καταλήξει ὁ ἀριθμός, καὶ ὅταν εἰσέλθῃ ἐν αὐτῷ ὁ Ἥλιος, τότε ἔσται ἡ βασιλεία ἐκείνη. F. C.

T(aurinensem) descripsi; P(arisinum) 2506, f. 42ᵛ et V(enetum) 7, f. 189ᵛ contuli. 1 Λέοντος βασιλέως περὶ βασιλείας V. 2 αὐτοῦ V. 3 αὐτοῦ T, V. 4 εἴ ἔστι T. 5 ἐπιθεωρήθη codd.; corr. Kroll. 7 ἂν ἐπιθ. V. 8 ἐρωτᾶς P, V. τύχοι P : τύχῃ P, V. 9 ἢ τῶν ιβ' ἢ ς' V. ἕκτῳ evan. in. T. τοῦ omis. V. 11 αὐτοῦ omis. P, T. ἐν omis. P, T. 12 καὶ κακοῦται P. εἴσιν P, V. οἱ ἀγαθοποιοὶ evan. in. T. 12-13 ἐπιθεωρῶντες T. 13 ἐν τῷ κακῷ τόπῳ V : ἐν αὐτῷ τῷ κακοποιῷ τόπῳ P, T. καὶ μετρ' T, V. 13-14 ἐν ᾧ V : ὃ P, T. 15 οὕτω T. ἕνα μῆνα V. 16 ὅτε P, V. 17 εἴσιν P, V. 18 βασιλεία αὐτοῦ V. ταχεία γίνεται T : γίνεται ταχέως V : γένηται ταχεῖα P. 19 ἐπιθεωρῶσιν V. 22 βούλει γνῶναι V. 22-23 ἐρωτηθείς P. 24 ἀπ' αὐτοῦ V. ἤτοι μοιρῶν P, T. An τόσαι ἡμέραι? 26 εἰσι om. T.

---

[1] De Leone philosopho, cf. Krumbacher, *Gesch. Byz. Lit.*[2], p. 722, et *Catal. Venet.*, p. 73, cod. 9.

Περὶ τῆς αὐτῆς τοῦ ἄρχοντος ἰδέας.

Εἰ δὲ βούλει γνῶναι καὶ τὸ εἶδος αὐτοῦ, σκόπει τὴν μοῖραν ἐν ποίῳ προσώπῳ καταλήγει· καὶ εἰ ἔστι πρόσωπον Ἡλίου, ἔστιν οὗτος ἔχων στῆθος πλατύ, ξανθός, φαλακρός, ἀπὸ οἴκου βασιλικοῦ· εἰ δὲ Διός, σιτόχρους, εὐόφθαλμος, σιγηλός, πρᾶος, ἀληθής, ἐλεύθερος, δίκαιος, θεόφοβος, ἀπ' οἴκου εὐγενοῦς· εἰ δὲ Ἑρμοῦ, νεώτερος, ὕπωχρος, φρόνιμος, νουνεχής, γραφεὺς <ἢ> ἀπ' οἴκου γραφέων· εἰ δὲ εἰς Ἄρεως πρόσωπον καταλήγει, γλαυκός, σιτόχρους, ὑπόξανθος, μικρός, ψεύστης, αἱματοχύτης· καὶ ἔσται οὗτος ἀπὸ τῶν ἀρχόντων θεμάτων ἢ τῶν τοιούτων οἴκων· εἰ δὲ Ἀφροδίτης, νεώτερος, σιτόχρους, ὑπέρυθρος, ἀπὸ οἴκου εὐγενοῦς, σιγηλός, καὶ ὀξύτητα ἔχων· εἰ δὲ Κρόνου, ἰσχνός, δεδεμένον ἔχων τὸ πρόσωπον, ἀεὶ λυπηρός· εἰ δὲ Σελήνης, μακρός, λευκός, νουνεχής, φρόνιμος, εὐπρόθετος, ἀπ' οἴκου βασιλικοῦ.

F. C.

F. 71. <Theophili>[1] Περὶ προβολῆς ἄρχοντος.

Ἐὰν ἐρωτηθῇς περὶ βασιλέως ἢ σατράπου περὶ προβολῆς τινος εἴτε ἐπὶ χώραν εἴτε ἐπὶ στρατόν, αὐτὸν μὲν τὸν βασιλέα ἢ τὸν σατράπην ἐκ τοῦ ὡροσκόπου λάμβανε, τὸν δὲ προβαλλόμενον ἤτοι προαγόμενον εἰς ἐξουσίαν ἐκ τοῦ δύνοντος, αὐτὴν δὲ τὴν ἐξουσίαν καὶ τὴν χώραν καὶ τὴν πόλιν ἐκ τοῦ μεσουρανήματος, τὴν ἔκβασιν δὲ τῆς ἐξουσιαστικῆς ὑποστασίας ἐκ τοῦ ὑπογείου, καὶ αὐτὴν τὴν προαίρεσιν τοῦ προβαλλομένου ἐξ αὐτοῦ τοῦ δύνοντος ζῳδίου. ἐὰν γὰρ πλάγιον τύχῃ τὸ ζ' ζῴδιον κακούμενον ὑπό τινος τῶν φθοροποιῶν ἢ ὁ κύ(ριος) αὐτοῦ ᾖ ὕπαυγος ἢ ἀναποδίζων ἢ κακὴν ἔχων θέσιν, δολερὸν καὶ κακότροπον καὶ ἀποίητον τὸν ἄνδρα λέγε. εἰ δὲ ὀρθόν ἐστι τὸ ζ' ζῴδιον καὶ ὑπὸ ἀγαθοποιοῦ μαρτυρεῖται ἢ καὶ ὁ κύ(ριος) αὐτοῦ ἔξαυγος ὢν εὐθυπορεῖ καλὴν θέσιν ἔχων, ἁπλοῦν καὶ ἀκέραιον καὶ πεποιημένον τὸν ἄνδρα λέγε· ἀγαθοπ(οιὸς) ἐπὼν τῷ μεσουρανήματι ἢ μαρτυρῶν τῷ κυρίῳ

1-13 Omis. T. Ex Paris. f. 43 et Venet. f. 190 edidi. 1 An αὐτοῦ? ἰδαίας P. 3-4 στῆθος ἔχων V. 7 ἢ supplevi, cf. 9. 9 οὕτως P. 13 εὐπρόθετος] Fort. εὐπρόσιτος. 15 Paris. f. 43ᵛ; Venet. f. 190. 16 περὶ P, T : παρὰ V. 17 ἢ τὸν evan. in T. 18 ὡροσκόπου scripsi : μεσουρανήματος (signo astr.) codd. προβαλλόμενον ἤτοι omis. T, V. 19-20 ἢ τὴν πόλιν καὶ τ. χ. V. 21 ὑποστασίας P : ὑπηρεσίας T, V. 22 προβαλομένου P. (προιαίρε)σιν evan. T. 23 ζ' ante ζῴδιον omis. T. τῶν φθοροποιῶν evan. in T. 24 ᾗ omis. V. 25 ἢ P, V. 26 μαρτυρῆται V : evan. T. εὐθυπορῇ V. 27 ἔχων θέσιν V. 28 λέγει V. ἔπων P, V : ὄντων T.

[1] Hoc capitulum iam Leonis philosophi non esse sed Theophili Edesseni (cf. *Cat. Flor.*, p. 129, n. 1) animadverti, dum codicem Parisinum 2417 saec. XIII evolvo, ubi (f. 39) in libro " Theophili philosophi " traditur. Idem cap. περὶ προβολῆς ἄρχοντος memorat index operum Theophili in codd. Vatic. 212, f. 108; Paris., *Suppl. gr.* 1241, f. 22, κε', servatus.

αὐτοῦ ἰσχυρὸν ὄντα δυνάστην καὶ δραστήριον καὶ ἐπωφελῆ <τὸν> ἄνδρα λέγει κατὰ τὴν ἐξουσίαν· κακοποιὸς δὲ τῷ μεσουρανήματι ἐπὼν ἢ μαρτυρῶν καὶ τοῦ κυρίου αὐτοῦ κακὴν ἔχοντος θέσιν φαύλην καὶ ἀλλόκοτον καὶ βριαρὰν λέγει τὴν ἐξουσίαν ἢ μὴ τελεσθήσεσθαι τὴν προβολήν· τῷ δύνοντι ἐπὼν φθοροποιὸς ἢ μεσουρανῶν παραιτεῖσθαι σημαίνει τὸν χειροτονούμενον τὴν ἐξουσίαν· τὸ ὑπόγειον ἐπιβλέπων φθοροποιὸς ἢ ἐπ' αὐτῷ ὢν κακὸν τέλος τῇ ἐξουσίᾳ δίδωσιν. — Εἰ δὲ καὶ περὶ δύο τινῶν ἢ τριῶν ἐρωτηθῇς, σκόπει τοὺς <τοῦ> τῆς δύσεως ζῳδίου τριγωνικοὺς δεσπότας, τὸν α' καὶ τὸν β' καὶ τὸν γ', ὁποίαν φάσιν ἢ θέσιν ἔχουσι καὶ ὑπὸ τίνων μαρτυροῦνται, ἀπονέμων δηλαδὴ τὸν α' τῷ α' τριγωνικῷ δεσπότῃ, τὸν δὲ β' τῷ β', τὸν δὲ γ' τῷ γ', καὶ οὕτως σύγκρισιν ποιούμενος τῶν ζῳδίων καὶ τῶν ἀστέρων βλέπε καὶ τὴν Σελήνην· ἀγαθοποιῷ μὲν γὰρ συνάπτουσα καλὴν τὴν ἔκβασιν δηλοῖ τῆς ἐξουσίας, κακοποιῷ δὲ φαύλην. F. C.

F. 71ᵛ. Περὶ τοῦ εἰδέναι τοῦ δείπνου τὴν κατασκευήν.

Ἐὰν τὴν Σελήνην Ἀφροδίτη ἐπιθεωρήσῃ, μύρα ἢ στέφανοι δοθήσονται· ἐὰν δὲ ὁ Κρόνος συμφωνήσῃ ἐν Ἰχθύσι [καὶ], θαλασσίοις ὄψοις ἔσεται ἡ τράπεζα πλήθουσα, χθεσινὰ δέ τινα ἑτοιμασθήσεται διὰ τὸ τὸν Κρόνον μαρτυρεῖν· ἐὰν δὲ ἡ Σελήνη σὺν Ἑρμῇ τύχῃ ἢ καὶ ἐπιθεωρηθῇ, ἔσονται μικρολογίαι περὶ τὸν δεῖπνον καὶ περὶ ἀποδημιῶν διαλογισμοί, περί τε μαθημάτων καὶ ξενιτειῶν, περὶ ἀγγελιῶν τινῶν καὶ πραγμάτων καινῶν· ταῦτα δὲ πάντα γενήσεται ἐάν τις τῶν ἀστέρων κείμενος τύχῃ ζῳδιακῶς ἢ καὶ ὁρικῶς· ἐὰν οἱ κακοποιοὶ τύχωσι Ζυγῷ ἢ τοῖς Διδύμοις, ῥαφάνων ἢ ῥιζῶν ὡς ἐπὶ τὸ πλεῖστον δεῖ ἀπέχεσθαι· ἐὰν δὲ ἐν Παρθένῳ ἢ Ζυγῷ, σεύτλου τε καὶ ὀσπρίου· τότε γὰρ μέγισται βλάβαι ἀπὸ τῶν προειρημένων ἐδεσμάτων τοῖς ἀνθρώποις παρακολουθήσουσιν ἀδεῶς προσφερομένοις τὰ παρηγγελμένα· ἐὰν δὲ Τοξότῃ, ἀπὸ ἀγριμαίων, ἐὰν δὲ Ἰχθύσι ἀπὸ κογχυλίων καὶ τῶν λοιπῶν ἰχθύων· μάλιστα δὲ τότε ταῦτα ἐπιβλαβῆ γίνεται, ὅταν οἱ κακοποιοὶ παρῶσιν τοῖς ζῳδίοις ἢ καὶ τετράγωνοι ἐπιθεωρῶσιν· ἐὰν ἡ Σελήνη μετὰ τοῦ Ἄρεως ὑπάρχῃ, κληθεὶς μὴ ἐπινεύσῃς, ἐπεὶ τοῖς περὶ τὸν δεῖπνον

1 αὐτοῦ ἰσχυροῦ ὄντος codd.: correxi. τὸν suppl. 2 λέγε P, T. 3 μαρτυρῶν V, T : μεσουρανῶν P. 4 λέγει T : λέγε P, V. τελεστήσεται codd.; corr. 5 μεσουρανῶν P, T : μαρτυρεῖ V. 6 ἐπιβλέπει V : εἰ ἐπιβλέπει T. 7 ἐπ' αὐτοῦ ut vid. T. 8 παρὰ V. ἐρωτιθεὶς V : ἐρωτηθεὶς P, T. τοῦ suppl. Kroll. 9 ζ' δεσπότας V. 12 σύγκρισιν V : σύγκρασιν P, T. 13 γὰρ omis T. 14 τὴν φαυλήν T. 15–Venet. f. 190ʳ; Parisin. f. 45 contuli. 17 καὶ delevi. 18 ἔσεται P, V et ut vid. T (ex versu?). χέρσινα coni., sed de pridiano cibo recalefacto fortasse agitur. 19 καὶ omis. P, V. 20 τὸν (non τὸ) δεῖπνον dixit hic astrologus, cf. v. 31. 23 ὡρικῶς P, V. 24 Pro signo Geminorum signum Tetragoni habent P, T : ἤτοι τοῦ □ V. 25 Ζυγῷ aut hic aut v. 23 corrupt. 28 ἀγριμίων T : ἀγρικίων P, V : ἀγριμαίων corr.; cf. Ptolem. ap. Athen. 749 f. 29 τότε omis. T. γίνονται P, V. 31 τοῖς τε T, P.

δυσχρηστίαι τινὲς ἔσονται· ἐὰν δὲ μετὰ Κρόνου οὔσης Σελήνης κληθῇς, ἐξ ἀνάγκης ἀπεπτήσεις καὶ ἐν αὐτῷ δὲ τῷ δείπνῳ ἀηδῶς διατεθήσῃ διὰ τὸ ῥυπαρὸς πάνυ γενέσθαι καὶ διακονεῖσθαι ἀκαθάρτως, λυπηρῶς τε διάξεις· ἐὰν δὲ μετὰ Ἀφροδίτης καὶ Ἑρμοῦ ἡ Σελήνη τύχῃ, ὅταν τίς σε καλῇ, πορεύου· ἔσται γὰρ πᾶσα εὐφροσύνη τε καὶ ἱλαρία, παιδιαί τε καὶ ὀρχήσεις καὶ εὔστομα σκώμματα καὶ ἀκροαμάτων ἐπιδείξεις.

F. C.

1 κληθεὶς V. 2 ἀπεπτήσεις omis. T. spatio rel. 3 ἀκαθάρτως T : ἀκάθαρτα P : ἀκαθάρτης V. 5 κάλει T. ἱλαρία P : ἱλαρὰ V : evanid. in T. παιδιαί corr. : παιδεῖαι P : παιδείας V : evanid. in T. 6 εὔτημα V. σκάμματα T, V.

EXCERPTUM EX CODICE 10 (Mutin. 42)

Ex pusillo opusculo, quod in antiquo saeculi XII codice Mutinensi traditur, fragmentum hoc edere visum est, quippe quod ad historiam astrologiae apud Byzantinos non prorsus sit inutile. Incommodum tamen affert perplexa codicis dispositio, unde de scriptoris nomine dubitatio exoritur. Nam post (f. 125) Νικήτα φιλοσόφου Παφλαγόνος tractatum περὶ συντελείας, sequitur (f. 128ᵛ) Τοῦ πάπα Ῥώμης πρὸς τὸν αὐτὸν πατριάρχην Ἀντιοχείας, i. e. epistula Leonis IX ad Petrum patriarcham Antiochiae, deinde (f. 129ᵛ) Τοῦ αὐτοῦ περὶ γεωγραφικοῦ πίνακος, cuius auctor magna ex parte Strabonem expilavit, tandem Τοῦ αὐτοῦ excerptum de quo hic agitur. Itaque aut ad episcopum Nicetam Paphlagonem, insignem saeculi IX "philosophum", aut ad Petrum patriarcham Antiochiae, qui saeculo XI florebat, referendum est. Ex editis vix inter utrumque diiudicari potest.

F. 131. Τοῦ αὐτοῦ ὅτι πολυάσχολον πρᾶγμα ἡ ἀστρολογία.

Οὐ βουλομένοις ἡμῖν εὐθὺς παραγίνεται τὸ ἀστρονομεῖν ἢ τὸ ἀστρολογεῖν ἀλλὰ λίαν σπουδάζουσιν· οὐ γὰρ ἀστρονόμος ἀθρόον ὁ τὴν σκιὰν τοῦ Ἡλίου θηρώμενος οὐδ' ὁ μετεωρήσας τῷ ἀστρολάβῳ τὸν Ἥλιον, ἀλλ', ἵνα δή σοι τὰ μεγάλα ἐν βραχεῖ παραστήσωμαι, ὥστε ἔχειν γινώσκειν καὶ θαυμάζειν τὸ μέγεθος *** ἡ ἀστρονομικὴ ἐπιστήμη ἐστί. ἐπειδὴ ἡ τοῦ χρόνου ἀρχὴ Ἡλίου ἐπεμβάντος ἐν τῷ Κριῷ γίνεται, δεῖ πρῶτον ψηφίζειν αὐτὴν τὴν ἐπέμβασιν τοῦ φωστῆρος καὶ τὴν ἐποχήν, εἶτα καὶ τὰς ἀκριβεῖς τῶν πλανήτων ἐποχὰς καὶ μετὰ ταῦτα τὸν ὡροσκόπον καὶ τὸν οἰκοδεσπότην αὐτοῦ καὶ τοὺς τῶν λοιπῶν ἀστέρων ὁριοκράτορας καὶ τίνα τόπον εἷς ἕκαστος αὐτῶν ἐπέχει, εἴτε οἰκεῖον εἴτε ἀλλότριον, ὡς δὲ καὶ τρίγωνον καὶ ὕψωμα· ἰστέον δέ σοι καὶ τοὺς τῶν εἰρ(ημ)έ(νων) ἡγεμόνας καὶ τίς μὲν ὁ στηρίζων, τίς δὲ ὁ προποδίζων ἢ ὑπο<πο>δ(ίζων), τίς μὲν ὁ ταχεῖαν ἔχων τὴν κίνησιν, τίς δὲ βραδεῖαν, τίς <ὁ> ἑῷος, τίς ὁ δυτικός, τίς ὁ ἐπίκεντρος, τίς ὁ κεκακωμένος, τίς ὁ φάσιν πρὸ τῶν ἄλλων ποιούμενος, ποία ἡ ἐπίβλεψις ἑτέρῳ πρὸς

3 ὁ τὴν scripsi : ὅτι cod. 4 μετρήσας coni. Kroll. 6 Lacunam significavi. Pro ἀστρονομικὴ scribendum esse ἀστρονομία sine lacuna coni. Boll. 13 εἰρημένων] l. χρόνων? 14 ὑποδ' cod. : ὑποποδίζων scripsi. 15 ὁ suppl.

ἕτερον, ποία συμφωνία ἢ ἐναντίωσις· πρὸ δὲ πάντων εἰδέναι σε χρεὼν ποῦ ἐστι ὁ τοῦ Διὸς ἀστὴρ καὶ ἐν ποίοις ὁρίοις ἢ ζῳδίοις καὶ πότερον ἐλευθεροῦται τῶν κακοποιῶν ἢ ἐν αὐτοῖς περιέχεται· μὴ καταφρονητέον δέ σοι μηδὲ τὰ πλάτη τῶν ἀστέρων καὶ ἐφ' ἃ μέρη τυγχάνουσιν· σκοπεῖν δὲ χρὴ καὶ τοὺς δεκανοὺς καὶ τὴν σύνοδον ἢ πρὸ τούτου πανσέληνον, ἐκζητεῖν δὲ τὸν τοῦ Ἡλίου καὶ Διὸς λόγον, εἶθ' οὕτως τοῦ ἀστέρος τοῦ μείζονα λόγον ἔχοντος τῆς ἀρχῆς τοῦ χρόνου· γνωσθήσεται πρῶτον οὗτος ἐὰν ἐν τῷ ὡροσκόπῳ ἐστί, δεύτερον δὲ χρονοάρχης ὁ ἐν τῷ μεσουρανήματι καὶ τρίτον ὁ δύνων, τέταρτον ὁ ὑπὸ γῆν, πέμπτον ὁ ἐπὶ τοῦ ἑνδεκάτου, ὅς ἐστι Διὸς τόπος, ἕκτον ὁ πέμπτος οἶκος, ἕβδομον ὁ ἔνατος· εἰ δὲ μηδεὶς εὑρεθείη τῶν ἀστέρων ἐπὶ τούτων ἑστηκὼς τῶν τόπων, ζητῶμεν τὰ τρίγωνα τοῦ ὡροσκόπου καὶ ἐάν τις ἐν αὐτῷ τυγχάνῃ ὤν, λέγομεν αὐτὸν λόγον ἔχειν ἀρχῆς· καθυποτάξαι δὲ εὐθὺς δεῖ τὸν τὴν φάσιν ἔγγιστα ποιούμενον [ἢ καὶ ποιοῦντα], ἢ τὸν μεταβαίνοντα ἐκ ζῳδίου εἰς ζῴδιον, καὶ ὁ τοῦ ὡροσκόπου δὲ ὁριοκράτωρ οὐκ ἄμοιρος λόγου γενήσεται· σὺν τούτοις δὲ ζητητέον σοι τὸν δεσπότην τῶν ὁρίων τῆς προγεγενημένης συνόδου ἢ πανσελήνου ἢ καὶ τῆς μελλούσης γίνεσθαι, ὁποία ἂν τῷ τῆς τροπῆς χρόνῳ προσεγγίζῃ, ἢ καὶ τῶν δυεῖν· τὴν μὲν γὰρ βεβαίωσιν τῶν κράσεων τῶν ἐπιγινομένων ἡ μέλλουσα δηλοῖ, τὴν δὲ τῆς ἀρχῆς τῶν πραγμάτων ἡ προλαβοῦσα, τὰ μέσα δὲ ὡροσκόπος τῆς συνόδου ἢ τῆς πανσελήνου· μέσα δὲ λέγω τὰ μετὰ τὴν φανέρωσιν τὴν ἔκδηλον γινόμενα, καὶ ἀρχὴ μὲν τοῦ καιροῦ ὁ ὡροσκόπος, μέσα δὲ τὰ τοῦ μεσουρανήματος, ἔπειτα τὰ τοῦ δύνοντος, τελευταῖον δὲ τὰ ὑπὸ γῆν· ἐὰν δὲ τύχῃ γεγονυῖα ἔκλειψις ἐν τοῖς τεταρτημορίοις ἢ ἀστέρων ἐπέμβασις καὶ μαρτυρία, ταῦτα δὴ τὰς ποιότητας τοῦ καιροῦ καὶ τῶν κρυφιωτέρων πραγμάτων καὶ μειζόνων δηλοῖ τὴν ἔκβασιν· ἐὰν δὲ καὶ σημεῖα ἐξ οὐρανοῦ παρακολουθήσῃ, κρυφίων καὶ ἀπροσδοκήτων πραγμάτων καινοτομίαν σημαίνει, καὶ εἰ μὲν τύχῃ ἐκλείπειν τὸν λόγον ἔχοντα τοῦ χρόνου ἀστέρα ἢ ἐπέμβασιν ποιήσασθαι, καθολικὸν σημεῖον τῷ χρόνῳ γενήσεται, εἰ δὲ ἄλλως, μερικόν· τῶν δὲ μεταβολῶν τῶν ὡρῶν πρώτη μὲν ἡ ἐν τῷ Κριῷ, δευτέρα δὲ ἡ ἐν τῷ Καρκίνῳ, τρίτη ἡ ἐν Ζυγῷ καὶ τετάρτη ἡ ἐν Αἰγόκερωτι· τῶν δὲ τετραρχῶν πρῶτος μὲν ὁ ἐπὶ τοῦ ὡροσκόπου, δεύτερος ὁ ἐπὶ τοῦ μεσουρανήματος, ὁ τρίτος ὁ ἐπὶ τοῦ δύνοντος καὶ τέταρτος ὁ ὑπόγειος· εἰ δὲ μηδεὶς τύχῃ ἐπὶ τῶν κέντρων ἀφορώμενος πρὸς τὸν οἰκοδεσπότην τοῦ ὡροσκόπου κ. τ. λ.

Pergit disserens eodem modo per paginas tres et perorat his verbis (f. 133):

Ἀλλὰ νῦν μὲν ἐς ἀστρονομικὴν ἕξιν μόνον ἐνάγων σε οὐδέν τι παρέξειμι τοῦ σκοποῦ· ὁπόταν δέ σοι τοὺς λόγους πάντων ἀνερευ-

3 ἐλευθερῶται cod. 10 Διὸς in rasura. 14 ἢ καὶ ποιοῦντα secl. Kroll. 20 ἡ μελλουσῶν cod. 21 ἡ τῆς cod. 29 ἐκλείπων cod. 32 αἰγοκέρατι cod.

νήσωμαι, ἐπεκδιδάξω σε πῶς τῶν ἐν οὐρανῷ ἀστέρων καὶ τόπων τοὺς μὲν ἀγαθοποιούς, τοὺς δὲ κακοποιοὺς ὀνομάζομεν· βουλοίμην μὲν οὖν καὶ ἀγαπῴην μηδένα λόγον ποιεῖσθαι πλὴν ἀρετῆς καὶ θείας ***· μόνα γὰρ ἤδη μοι ταῦτα καθήκει· ἐπεὶ δὲ οὐ πάντη, τοῦ πνεύματος ἀμφὶ ταῦτα ἔχω τοσοῦτον ὥστε διορθοῦσθαι τοὺς πταίοντας καὶ διδάσκειν μὴ εὔληπτα οἴεσθαι τὰ μεγάλα μαθήματα, μηδ' εὐθὺς βουλομένοις τὴν γνῶσιν τούτων ἀκολουθεῖν. F. C.

3 ἀγαπῶ ἂν μηδὲν ἄλογον cod. Post θείας lacunam signavi. 4 πάντ(ι) vel πάν-τ(ειν?) ut vid. cod.; corr. Boll.

EXCERPTA EX CODICE 11 (MUTIN. 85)

F. 35v. Ἰστέον ὅτι οἱ Ἕλληνες τὰς ἑπτὰ ἡμέρας τῶν ἑπτὰ πλανήτων ἔφησαν εἶναι οἴκους, ἐν αἷς καὶ πολεύουσι καὶ διέπουσι καὶ ἰθύνουσι καὶ διοικοῦσι· εἰς ἃς καὶ οἱ τῶν Ἑλλήνων νομιζόμενοι θεοὶ ἐτιμῶντο καὶ ἐδοξάζοντο.

Τὴν μὲν πρώτην ἔνειμαν τοῦ Ἡλίου, διὸ καὶ ἡμεῖς, ταύτην τοῦ Ἡλίου τῆς δικαιοσύνης Χριστοῦ τοῦ Θεοῦ ἀφιερωσάμενοι[1].

Τὴν δευτέραν τῆς Σελήνης· ἡμεῖς δὲ ὡς δεύτερον φῶς οἱ ἄγγελοι ἐν ταύτῃ τῇ ἡμέρᾳ ἀνατεθήκαμεν.

Τὴν δὲ τρίτην τοῦ Ἄρεως· ἡμεῖς δὲ τοῦ Προδρόμου, ὡς ἔλεγχον τῶν ἀθεμίτων πράξεων.

Τὴν δὲ τετάρτην τοῦ Ἑρμοῦ· ἡμεῖς δὲ τοῦ Σταυροῦ, ὅτι ὁ μὲν Ἑρμῆς ἔφορος ὢν λόγου καὶ διδαχῆς· ὁ δὲ λόγος τοῦ Σταυροῦ τοῖς μὲν ἀπολλυμένοις μωρία ἐστίν, τοῖς δὲ σωζομένοις δύναμις Θεοῦ.

Τὴν δὲ πέμπτην τοῦ Διός, ἡμεῖς δὲ τῶν Ἀποστόλων.

Τὴν δὲ ἕκτην τῆς Ἀφροδίτης, ἡμεῖς δὲ τὴν Θεοτόκον ὀδυρομένην διὰ τὴν τοῦ υἱοῦ σταύρωσιν.

Τὴν δὲ ἑβδόμην τοῦ Κρόνου· φασὶ γὰρ τοῦτον πατέρα θεῶν· ἡμεῖς δὲ τὸν Πατέρα ἡμῶν καὶ Θεὸν ἱκετεύομεν ὑπὲρ τῶν προαπελθόντων πατέρων καὶ ἀδελφῶν. F. C.

Mutinensem descripsi; Vaticanum 1290, f. 78r contulit Boll. 1 τὰς om. V. 2 ὧν οἶκοι M : εἶναι οἶκοι V. 2-3 διοικ. καὶ ἰθυν. V. 3 οἱ omis, M. 5 τοῦ Ἡλίου] τῷ Ἡλίῳ corr. nolui. ἡμεῖς] subaudi ἐνείμαμεν. 7 An τοῖς ἀγγέλοις? 12 εὔφορος codd. 13 ἀπολυμένοις M. θεὸν V. 15 Suppl. ἱκετεύομεν, cf. v. 18. 17 τὸν Κρόνον M : τοῦ Ἑρμοῦ V. φησὶ cod.

Iuliani Laodicensis disquisitio astronomica.

Inter auctores qui in astrologicis collectaneis laudantur, saepius occurrit nomen Iuliani Laodicensis, sed, ut plerumque accidit, de vita eius nihil fere comperimus. Aetas quoque eius non omnino certa est. Nam si sola philologia freti tempus vitae

[1] Saepissime a scriptoribus christianis Sol Iustitiae (Malach. IV, 2) deo Soli Invicto opponitur; cf. mea *Monum. myst. Mithra*, I, 355; Kellner, *Heortologie*, 1901, p. 102. — Conferre iuvat quae de Lunae diebus congessit auctor anonymus editus in *Catal. Mediol.*, p. 32 ss.

eius invenire conaremur, termini inter quos floruerit arcte circumscribi posse viderentur. Ac primum asseverari potest eum post medium saec. II et ante finem saeculi V floruisse. Nam caput ultimum libri II Tetrabibli, Περὶ τῆς τῶν μετεώρων σημειώσεως in usum suum convertit (cf. *infra*, p. 109). Quod non ex Hephaestione habet, qui idem excerptum in fine libri sui primi addidit (I, 25; cf. Boll, ***Sitzb. bayer. Akad.***, 1899, p. 94, n. 3), nedum ex Lydo (***De ostentis***, 9[b], p. 21, ed. 2 Wachsmuth), qui eadem fere praebet, sed ex ipso Ptolemaeo, ut ex collatione nostra apparet. Eundem Ptolemaeum praeterea commemorat in cap. II, Περὶ ἐποχῶν καὶ κέντρων, p. 106 ss. — Versus etiam quosdam affert Dorothei (p. 105), qui in excerpto quoque περὶ πολέμου invocatur, sed nihil inde proficimus, nisi incertum per incertius illustrare conamur.

Opus autem Iuliani legisse videtur Paulus Alexandrinus, qui exeunte saec. IV scripsit, nam verba praefationis eius Ἀπολλωνίου τοῦ Λαοδικέως ἐν τοῖς ἰδίοις πέντε βιβλίοις διαβάλλοντος τοὺς Αἰγυπτίους in Ἰουλιανοῦ τοῦ Λαοδικέως corrigenda esse forsitan recte supposuit Lambecius (cf. Fabricius-Harles, ***Bibl. gr.***, IV, 140). Coniectura sane est, at certe tria capita Iuliani Laodicensis de bello Palchus exeunte saeculo V, ut videtur, in farraginem suam admisit, qui et exordium Ἐπισκέψεως ἀστρονομικῆς (cf. infra, nº 1) descripsit et alioquin eum auctorem laudat (infra, nº 2, 8). Porro eadem tria capita repetiit Theophilus Edessenus, qui anno 785 obiit (cf. infra, nº 2).

Accedit aliud. Sic incipit byzantini cuiusdam saec. IX fragmentum Περὶ τῆς τῶν ἀπλανῶν ἀστέρων δυνάμεως in codice Paris. 2506, f. 11 (cf. Venet. 7, f. 100) servatum : Ἀναγκαῖον ψήθην καὶ τὰς τῶν ἀπλανῶν δυνάμεις καθυποτάξαι... ξένας γὰρ καὶ παραδόξους γεννήσεις παρασκευάζειν εἰώθασιν, ὥς φησιν ὁ πολυΐστωρ Ἰουλιανὸς ἐν τοῖς αὐτοῦ ἀποτελέσμασιν. Huic autem excerpto cum capite Ἀποτελέσματα τῆς τῶν ἀπλανῶν ἀστέρων ἐποχῆς, quod ex codice Angel. 29 in Catalogo Florentino (p. 113) partim edidimus, ea est necessitudo ut vel lippis perspicuum fiat, aut ipsius Iuliani esse aut scriptoris qui Iulianum ad verbum expressit. Liber autem ex quo fluxit hoc caput anno 379 conscriptus est (cf. ***Catal. Flor.***, p. 115, 5). Quibus omnibus indiciis probari videtur Iulianum Laodicensem saeculo quarto circa annum 379 floruisse.

Attamen ex astronomia peti posse argumenta quibus ad aetatem inferiorem detrudimur, animadvertit Franciscus Boll, cui haec debeo : Novem stellarum fixarum positiones in capite II, quod edimus, indicantur, quarum si longitudinem et latitudinem cum numeris quos Ptolemaeus in ***Syntaxis*** libris VII-VIII praebet, contuleris, invenies latitudinem quidem eandem semper manere, longitudinem vero constanter (si codicis leves corruptelas correxeris) gradibus 3° 36′ differre. Quod aperte monstrabit tabula haecce :

Ad Solem ὁ μεταξὺ τῶν χηλῶν τοῦ Σκορπίου.

Longitudo.	Iulianus :	♏ 4° 46′	Latitudo.	Iulianus :	1° 30′
	Ptolemaeus :	1° 10′		Ptolemaeus :	1° 30′
		3° 36′			

Ad Lunam ὁ ἐπὶ τῆς ἐκφύσεως τοῦ βορείου κέρατος τοῦ Ταύρου.

Longitudo. Iulianus :	♉ 19° 16′	Latitudo. Iulianus :	0° 15′
Ptolemaeus :	15° 40′	Ptolemaeus :	0° 15′
	3° 36′		

Ad Saturnum ὁ ἑπόμενος τῷ ἐν τῷ ῥομβοειδεῖ τετραπλεύρῳ τοῦ Κριοῦ καὶ ἐπ' ἄκρου τοῦ μυκτῆρος τοῦ Κήτους.

Longitudo. Iulianus :	♈ 21° 16′ *	Latitudo. Iulianus :	7° 45′
Ptolemaeus :	17° 40′	Ptolemaeus :	7° 45′
	3° 36′		

* Correctum ex ☿ καὶ ζ′.

Ad Saturnum τῶν ἐν τῇ οὐρᾷ τοῦ Κριοῦ τριῶν ὁ προηγούμενος.

Longitudo. Iulianus :	♈ 27° <26′> *	Latitudo. Iulianus :	1° 40′
Ptolemaeus :	23° 50′	Ptolemaeus :	1° 40′
	3° 36′		

* κζ′ <κς′> correctum est ex κζ′.

Ad Iovem ὁ ἐπ' ἄκρας τῆς νοτίας καὶ ἀριστέρου πτέρυγος τῆς Παρθένου.

Longitudo. Iulianus :	♍ 2° 36′	Latitudo, Iulianus :	0° 10′
Ptolemaeus :	♌ 29°	Ptolemaeus :	0° 10′
	3° 36′		

Ad Martem τῶν ἐν τοῖς γλουτοῖς τοῦ Λέοντος ὁ νοτιώτερος.

Longitudo. Iulianus :	♌ 19° 56′ *	Latitudo. Iulianus :	9° 40′
Ptolemaeus :	16° 20′	Ptolemaeus :	9° 40′
	3° 36′		

* Pro ιθ′ νς′ traditur θ′ νς′.

Ad Venerem ὁ ἑπόμενος τῶν ἐν τῷ σώματι τοῦ Σκορπίου.

Longitudo. Iulianus :	18° 6′	Latitudo. Iulianus :	5° 30′ *
Ptolemaeus :	14° 30′	Ptolemaeus :	5° 30′
	3° 36′		

* Pro ε′ λ′ traditur ε′ ιλ′.

Ad Venerem ὁ ἐπὶ τοῦ δεξιοῦ καὶ ἑπομένου γόνατος τοῦ Ὀφιούχου.

Longitudo. Iulianus :	♏ 24° 46′	Latitudo. Iulianus :	7° 30′
Ptolemaeus :	21° 10′	Ptolemaeus :	7° 30′
	3° 36′		

Ad Mercurium ὁ ἐν τῷ σώματι τοῦ Σκορπίου ὁ μέσος ὑπόκιρρος ὁ καλούμενος Ἀντάρης.

Longitudo. Iulianus :	♏ 16° 16′	Latitudo. Iulianus :	4° 0′
Ptolemaeus :	12° 40′	Ptolemaeus :	4°
	3° 36′		

Ex his patet Iulianum Ptolemaei libro usum esse sed numeros eius correxisse ut eos ad siderum collocationem sui temporis accomodaret. Illo autem tempore norma Ptolemaei viguit pro centenis annis gradum unum adiciendum esse (cf. e. g. *Catal. Flor.*, p. 115, l. 5). Ergo si Iulianus 3° 36′ addidit, fere 360 annos post Ptolemaeum vixit, id est circa annum 500.

Itaque philologia et astronomia non omnino consentiunt et ad hanc litem dirimendum subsidium mathematicorum nobis est invocandum. Ansam enim ad aetatem Iuliano accuratissime definiendam peritis dat idem caput II; nam septem planetarum positus tam subtiliter indicavit astrologus ut temporis momentum, quo caelum observaverit, inde computari possit. Quod cum a nemine hucusque consequi potuerimus, iudicium in aliud tempus reservandum est. In *Catalogo Romano* excerpta Iuliani Angelicana simul cum Parisinis (infra, n° 4) edemus, et testimoniis novis allatis hanc quaestionem nos profligaturos esse speramus.

Non confundendum esse Iulianum Laodicensem cum Iulianis duo theurgis, quorum prior Chaldaeus cognominatur, alter filius eius est, iam monuit Kroll (*De oraculis Chaldaicis*, 71) rectissime; nam Iulianus hic iunior regnante Marco Aurelio vixit, Iulianum autem astrologum hoc imperatore utique recentiorem esse nunc vidimus.

Libri Iuliani Laodicensis qui quinque numero fuerunt, si Paulum Alexandrinum testem afferre licet (cf. supra), iam nono saeculo periisse videntur. Certe in indicibus qui exstant auctorum astrologicorum non memorantur (cf. *Cat. Flor.*, 81 s.). Inter excerpta quae in miscellaneis codicibus tradita sunt primum obtinet locum :

1) Ἐπίσκεψις ἀστρονομική capitibus XVIII divisa quae in cod. Vindob. phil. gr. 179, f. 79-91 (cf. Catal. Vindobonensem mox edendum) et in Mutinensi 11, f. 79 ss. servatur, et cuius prima capita hic publici iuris facimus. Librum Vindobonensem, intercedente Eugenio Bormann, comiter mihi descripsit Constantinus Horna; Mutinensem ipse contuli. — Excerpta ex hoc opere passim inveniuntur : Exordium expilavit Palchus (cf. *Catal. Flor.*, cod. 11, f. 247; Cod. Angelic. 29 [in *Studi ital.* IV, p. 60], f. 119). Alia fragmenta traduntur in cod. Neap. 19, f. 434 s. f. 417ᵛ [supra, p. 62] et a Martinio et Bassio infra edentur.

2) Capita tria Περὶ πολέμου, περὶ πολέμου ἄλλη σκέψις, περὶ ἀναλύσεως πολέμου, edidit Mai *Scriptorum. vet. nova collectio*, t. II (1827), p. 675-7, " ex vetusto codice Vaticano qui vanissimae artis tractatum copiosum cum scholiis continet " i. e. ex Vaticano 1056, saec. XIV, f. 87 s. Praeterea inveniuntur haec eadem capita sine auctoris nomine in libro Palchi apotelesmatico (*Catal. Flor.*, cod. 11, 236ᵛ; Cod. Angelic. 29, f. 113) et cum rubrica ἐκ τοῦ Λαοδικέως Ἰουλιανοῦ in libro Theophili Edesseni (Cod. Vatic. 212, f. 106, cap. λε′-λζ′; Cod. Paris. suppl. gr. 1241, f. 22).

3) Capita Περὶ καταστημάτων τῶν ζ′ ἀστέρων et Περὶ καταρχῶν in " syntagmate Laurentiano " inserta libris mss. servantur pluribus (cf. e. g. *Cat. Venet.*, cod. 5, f. 96ᵛ; 7, f. 341ᵛ; 8, f. 195ᵛ) et a Guilelmo Kroll in *Catal. Flor.*, pp. 134 s., 138 s. edita sunt.

4) Supra monstravimus ad Iulianum referenda esse capita Περὶ τῆς τῶν ἀπλα-

νῶν ἀστέρων δυνάμεως codicis Parisini 2506 (ex quo descripti sunt Paris. 2420, f. 88, 2424, f. 17) et Marciani 335, f. 100 et caput Ἀποτελέσματα τῆς τῶν ἀπλανῶν ἀστέρων ἐποχῆς codicis Angel. 29 f. 188^{v} (cf. *Catal. Flor.*, p. 113). Ex rebus autem et stylo apparet eiusdem auctoris esse excerpta duo propediem edenda, quae in Angelicano libro sequuntur (cf. Cod. Flor. 11, f. 297) Περὶ ἐμπαθῶν τόπων ἤτοι μελῶν τῶν αἰνιγματωδῶν Ζῳδίων Κριοῦ, Ταύρου, Λέοντος, Παρθένου et Περὶ σινοποιῶν μοιρῶν ἤτοι τόπων τῶν σινουμένων τὰς ὄψεις. Eiusdem vero argumenti sunt excerpta codd. Parisini f. 12 ss. et Marciani f. 297^{v} (*Catal. Venet.*, p. 43) Καθολικὰ σχήματα περὶ σινῶν καὶ παθῶν quae ex toto vel partim ex Iuliani copiis surrepta esse credam.

5) Caput Περὶ ἀγορασμοῦ exstat in cod. Vindob. 115, f. 159^{r}; cod. Marciano 334, f. 52^{v}, cf. *Catal. Venet.*, 6, p. 21, et in *Catal. Vindobon.* edetur.

6) In codice Paris. 2506 saec. XIII post dimidiam paginam vacuam invenitur (f. 120^{v}, τιβ') caput : Περὶ συναστρίας ὁ αὐτὸς Ἰουλιανὸς οὕτω φησίν· Εἰ ὡροσκόπον τις ἔχει ... Cf. Boll, *Sphaera*, p. 31.

7) Versus quidam Περὶ νοσούντων ex Iuliano repetiit scriptor anonymus editus in *Catal. Flor.*, p. 125, l. 24 s.

8) Iulianum auctorem laudat Palchus in cap. Περὶ ἀποδήμου ἀνακομιδῆς cod. Flor. 11, f. 250 = cod. Angel. 29, f. 120.

9) Denique *Iuliani Laodicensis mathematici ad dominum Marcum imperatorem de bello* opusculum latinum continet cod. Palat. 1416, saec. XV-XVI, f. 159^{r}-165^{v}; cuius initium edidit Ang. Mai, *Iuris civilis anteiustianiani reliquiae ineditae*, Romae, 1823, p. 156 ss. Quae dum in codice Palatino perlustro, facile mihi persuasi Guilelmum Kroll (*De orac. Chaldaicis*, p. 72) iure hunc libellum Iuliano abiudicasse. Ista confecit falsarius aetatis " humanistarum „ nescio quo astrologico opere usus, at iam in primis deprehenditur prooemii verbis, ubi imperatorem, quasi iam mortuum, *dive Marce Auguste* alloquitur. F. C.

Ἰουλιανοῦ Λαοδικέως ἐπίσκεψις ἀστρονομική.

Ὁ περὶ καταρχῶν λόγος καὶ ἀναγκαῖος καὶ ὠφέλιμος εἰς τὰς βιωτικὰς πράξεις ἐστίν, ὡς ἡ πεῖρα αὐτὴ ἐναργῶς μαρτυρεῖ· χρὴ δὲ ἀκριβῶς τάς τε τῶν ἀστέρων ἐποχὰς καὶ τὰς ὡροσκοπήσεις παρατηρεῖσθαι· ὁ γὰρ τοῦτο ἐμμελῶς ἐξονυχίζων ἄπταιστον εὑρήσει σχεδὸν τὸν περὶ καταρχῶν λόγον, ὁ δὲ βλακεύων καὶ ἐπιπολαίως αὐτὸ παραθεωρῶν καὶ ἀμελῶς, καὶ διὰ τοῦτο, ὡς εἰκός, ἁμαρτάνων, αὐτὸς ἑαυτὸν αἰτιάσθω τῆς ἀταλαιπώρου περὶ τῶν τηλικούτων διαθέσεως· οὐδὲ γὰρ οἱ ἀμβλυώττοντες παρὰ τὴν τοῦ Ἡλίου αὐγὴν τοῦτο πάσχουσιν, ἀλλὰ παρὰ τὴν οἰκείαν ἀνεπιτηδειότητα τῶν ὀφθαλμῶν, οὕτως οὖν καὶ οἱ

Cod. V(indobonensis) f. 79. A(ngelicanum) 29 ubi, f. 119, primum capit. exstat, contuli. Hoc primum capitulum deest in codice M(utinensi). Orthographica plerumque adnotare supersedi. 1 λαοδικαίως V. 2 ἀναγκαίως V. 3 αὕτη A. 5 εὑρήσει e corr. V. 6-7 αὐτὸ παρορῶν εἰκὼς ἁμαρτάνων (cet. omis.) V. ὡς τὸ εἰκός A. 8 αἰτιάσω V. ταλαιπώρου A. 9 ἀμβλιώτωντες V. 9-10 Expectes τῆς - αὐγῆς et τῆς - ἀνεπετηδειότητος. 10 οὕτως οὖν omis. V.

ἐν τοῖς συμβολαίοις μὴ ἀκριβοῦντες τὴν τοῦ οὐρανοῦ θέσιν παρὰ τὴν ἑαυτῶν ἀσθένειαν καὶ ἀνεπιτηδειότητα τῆς ἀγαθουργοῦ τῶν ἀστέρων ἀπορροίας ἀμοιρήσουσι καὶ διὰ τοῦτο δυσπραγήσουσιν. ἡμεῖς δὲ θεὸν ἔχοντες ἵλεων καὶ πυρφόρῳ καὶ ἀναγωγῷ πτερούμενοι ἔρωτι ἤδη λέγωμεν.

Ἐπὶ πάσης καταρχῆς ὅστις ἔχει τὸν τοῦ Διὸς ἀστέρα ἑῷον ὡροσκοποῦντα ἢ ἐν τῷ βίῳ, τοῦτ' ἔστι τῷ β' τόπῳ, ταχείας τῶν πραγμάτων τὰς ἐκβάσεις ἴστω τελεσθήσεσθαι, ἀλλὰ καὶ ἀγαθοποιῶν μαρτυρούντων αὐτῷ καὶ ἀγαθὰς καὶ ὠφελίμους, κακοποιῶν δὲ ἐπιμόχθους καὶ δυσεπιτεύκτους. τὸ δὲ τέλος ἐκ τῆς ἐπικρατήσεως καὶ τῆς πλειονοψηφορίας δηλωθήσεται, πλὴν ἡ μῖξις ἀνωμαλίας ποιήσει· τῶν ἀγαθοποιῶν μὲν οὖν ἐπικρατησάντων ἐν καταρχαῖς τὸ γενόμενον καλὸν πέρας ἕξει, κακοποιῶν δέ, ἐλπί(δας) ὑπόφηναι εἰς τοὐναντίον περιτραπήσεσθαι. τὰς δὲ τῶν πραγμάτων ἀρχὰς ἐκ τῶν ἐπικέντρων ἀστέρων γνωσόμεθα· ἐπὶ μὲν Κρόνου, Διός, Ἄρεως, ἐκ τοῦ ἑῴρυ ἀνατολικοῦ πρώτου στηριγμοῦ, ἐπὶ δὲ Ἀφροδίτης, Ἑρμοῦ, ἐκ τοῦ ἑσπερίου αὐτῶν· τὰ δὲ τέλη τῶν πραγμάτων ὁ ἐπαναφερόμενος δηλώσει, ἀλλ' ἐπὶ μὲν Κρόνου, Διός, Ἄρεως, ὁ ἑσπέριος αὐτῶν, ἐπὶ δὲ Ἀφροδίτης, Ἑρμοῦ, ὁ ἑῷος, ὡς ἐκ τούτου εἶναι δῆλον ὅτι Κρόνος, Ζεύς, Ἄρης ἑῷοι ἐπαναφερόμενοι ἢ ἑσπέριοι ἐπίκεντροι οὐδὲν ἐν τούτοις προφητεύσουσιν· ὡσαύτως δὲ Ἀφροδίτη καὶ Ἑρμῆς <ἑῷοι ἐπίκεντροι> ἤτοι ἑσπέριοι ἐπαναφερόμενοι, οὐδὲν βούλονται θεσπίζειν. εἰ δέ, ὡς εἴρηται, πάντες εἰσὶν ἐπίκεντροι ἢ ἐπαναφερόμενοι, ὃς πρῶτος τῷ κέντρῳ πελάζει ἢ τῇ ἐπαναφορᾷ ἐκεῖνος τηρητέος, εἰ δὲ ἰσόμοιροι γένοιντο, ὁ ὡροσκοπῶν τὰς ἀρχὰς δηλοῖ, ὁ δὲ μεσουρανῶν τὰ μέσα, ὁ δὲ δύνων τὰ τέλη. περὶ δὲ χρόνου οὕτως ὅρισον· ἐπὶ μὲν τῶν κέντρων ὁ ὡροσκοπῶν ὁ παραλελυθὼς ἐστι, τὸ μεσουράνημα δὲ ὁ ἐνεστώς, ὁ δὲ δύνων ὁ μέλλων· καὶ περὶ ἡλικίας ὡσαύτως· ὁ μὲν ὡροσκόπος ἡ παιδική, τὸ μεσουράνημα ἡ ἀκμαστική, τὸ δὲ δῦνον ἡ γεροντική· ἐπὶ δὲ πάντων, τούτεστι τῶν κέντρων καὶ τῶν ἐπαναφορῶν καὶ τῶν ἀποκλιμάτων, ὁ παραλελυθὼς μὲν χρόνος τὸ ἀπόκλιμα, ὁ δὲ ἐνεστὼς αὐτὸ τὸ κέντρον, ἡ δὲ

2 ἐπιτηδειότητα V. 3 ἀπορίας (omis. ἀμοιρήσουσι) V. δυσπραγοῦσιν V. 4 ἴλεον V. 5 λέγομεν V. 8 ἴστω omis. V. 9 καὶ (prius) omis. V. κακοποιοὶ V. 10-11 καὶ - πλειονοψ. omis. V, qui post δηλωθ. add. καὶ τῆς ψηφοφορίας. — Πλειονοψηφοφορία verbum novum est sed πλειονοψηρία apud Paul. Alex. invenitur. 11 μίξεις V. 12 καταρχὰς V. τὸ γενόμενον omis. V. 13 ἐλπί(δας) ὑπόφηναι omis. V. 14 περιτραπήσεται codd., corr. τῶν δὲ τῶν V. 15 ἀνατολικοῦ ἕως A : ἀναταξικοῦ V. 18 ἡ ἑσπέριε V. 19 δῆλον V : φανερὸν A. 20 ἢ A : οἱ V. οὐδὲν ἐν - προφητεύσουσιν omis. A. 21 προφητεύσωσιν V, corr. ἑῷοι ἐπίκεντροι suppl. Bidez. 22 ἐπιφερόμενοι V. 22-24 εἰ δὲ ὡς - γένοιντο omis. V, qui ἐπὶ μὲν τῶν κέντρων tantum habet. 23 ὁ πρῶτος A : corr. 26 περὶ δὲ χρόνου omis. A. οὕτως omis. V. ὁ ὁρίζων V : ὁρίζον A. 27 ὁ (ante παρ.) omis. V. παραλελυθὸς V. ὁ ante ἐνεστὼς omis. V. ὁ δύνων δὲ A. τὸ μέλλον V. 28 ὡροσκόπων V. 27-29 τὸ μεσουράνημα - γεροντική omis. V. 30 ὁ omis. V. τούτεστι omis. V. 31 χρόνος omis V. ὁ ἐνεστ. (omis. δὲ) V. αὐτὸ omis. V.

ἐπαναφορὰ ὁ μέλλων· εἰ δὲ μηδένα ἔχει τὰ κέντρα, αὐτὰ τὰ ζῴδια μηνύσει τὴν ἔκβασιν ὅπως ἂν ἔχοι μαρτυρίας ἢ αὐτὴ ἡ οἰκοδεσποτεία αὐτῶν· εἰδέναι δὲ χρὴ ὡς καὶ οἱ κακοποιοὶ ἀγαθοποιῶν δύναμιν ἐπισχόντες καλῶν παρεκτικοὶ γίνονται, οἱ δ' ἀγαθοποιοὶ κακωθέντες ἄπρακτοι γίνονται· ἀλλ' οἱ μὲν μετὰ βίας τινὸς καὶ πλεονεξίας ἢ λοιδορίας ἀνύσουσιν, οἱ δὲ ἀγαθοποιοὶ μετὰ δικαιοσύνης καὶ πείθους καὶ εὐθυμίας καὶ ἀποδοχῆς· ἀγαθύνονται δὲ οἱ μὲν κακοποιοὶ ἀστέρες ὅταν ἐν ἰδίοις οἴκοις ἢ ὑψώμασιν ἢ ὁρίοις ἢ τριγώνοις ὦσιν κατὰ αἵρεσιν· κακοῦνται δὲ οἱ ἀγαθοποιοὶ τοῖς τῶν εἰρημένων ἐναντίοις, τοῦτ' ἔστιν ἐν τοῖς ἑαυτῶν ταπεινώμασιν ἢ παρ' αἵρεσιν καὶ τοῖς τοιούτοις· πραΰνονται δὲ τῆς κακώσεως οἱ κακοποιοὶ τριγωνίζοντες τὴν Σελήνην ἢ τὸν ὡροσκόπον καὶ γὰρ καλῶς εἴρηται·

Σχήμασι τριπλεύροις κακοεργέες ἀμβλύνονται·

καὶ

Ἀστὴρ οὔκετι φαῦλος ἐπὴν ἀγαθὸν τόπον εὕρῃ.

Ἄλλο γάρ ἐστι τὸ ποιὸν κατὰ φύσιν ἑκάστου ἀστέρος καὶ ἄλλο τὸ ἀγαθὸν καὶ ὠφέλιμον ἢ τὸ ἐναντίον καὶ βλαβερόν. τοῦτο δὲ καὶ ἐξ αὐτῶν τῶν πραγμάτων δῆλον· τὰ γοῦν δοθέντα δῶρα τῆς Ἀφροδίτης τῷ Πάριδι βλαβερὰ ἦσαν δηλονότι, τὰ δὲ τῇ χρυσῇ γενεᾷ τοῦ Κρόνου δῶρα ἀγαθά· καὶ τὸ γενναῖον καὶ ἀήττητον τοῦ Μακεδόνος Ἀλεξάνδρου ἀρεϊκόν, ἡ δὲ διὰ τὴν μέθην συμβᾶσα αὐτῷ τελευτὴ ἀφροδισιακόν. ἀλλὰ καὶ πολλοὶ παρὰ τοῦ Διὸς πλοῦτον καὶ βασιλείαν λαβόντες δι' αὐτὸ τοῦτο κακῶς διεφθάρησαν· τούτων δὲ πάντων αἴτιον τὸ φύσιν ἀγαθουργὸν τῶν ἀστέρων, ἡ δὲ ἀνοικείως αὐτῶν τὴν ἀπόρροιαν δεχομένη γένεσις βλάπτεται, καὶ τότε γίνονται οἱ ἀστέρες βλαπτικοί· κατὰ τὸ συμβεβηκὸς δὴ τὸ πάσχειν, ἀλλ' οὔ, μὰ Δία, διὰ τὸ ποιόν· οἱ γοῦν πυρέττοντες βλάπτονται ὑπὸ τῆς τὰ πάντα ζωοποιούσης Ἡλίου θερμότητος, διὰ τὴν ἑαυτῶν ἀνεπιτηδειότητα δηλονότι· οὐ γάρ τινες μὲν ἀγαθοὶ τῶν ἀστέρων, τινὲς δὲ κακοὶ ἀλλὰ πάντες ἀγαθοὶ καὶ τῷ ὅλῳ κόσμῳ σωτήριοι καὶ ὠφέλιμοι· πάντες γὰρ οἱ ἀστέρες πάντα δύνανται κατὰ τὴν φύσιν τῶν μετεχόντων. μαρτυρεῖ δὲ τὰ πράγματα· κατακρίτους μὲν γὰρ ποιεῖ Ζεύς, στρατοπεδάρχας δὲ Ἄρης, ἀτάφους δὲ Ἥλιος, αὐτοκράτορας δὲ Κρόνος, ἐνθέους δὲ Ἀφροδίτη, ἀρχιμύστας δὲ Ἑρμῆς· ἀλλ' ὠφελοῦσι μὲν οἱ κακοποιοὶ ἀγαθυνθέντες, ὡς εἴρηται, βλάπτουσι δὲ οἱ ἀγαθοποιοὶ κακωθέντες· ἐὰν δέ τις αὐτοὺς καθ' αὑτοὺς

1 ὁ μέλλων δὲ ἡ ἐπαναφορά A. 2 μηνήσει V. 2-3 ἢ αὐτή - αὐτῶν omis. V. 3 καὶ omis. V. 5-7 ἀλλ' οἱ μὲν - ἀποδοχῆς omis. V. 10 παραιρέσεσιν V, fors. recte. 10-11 καὶ τοῖς τοιούτοις omis. V. 13 Versus Dorothei, cf. *Catal. Flor.*, p. 146, 12, et Usener, ***Rhein. Mus.***, N. F., LV, p. 332, 11. 15 καὶ ἀστὴρ οὐκ ἔστι V : ἀστὴρ δ' οὔκετι Boll in *Catal. Flor.* ἐπ' ἣν V. 15-30 Ἄλλο γάρ - ὠφέλιμοι omis. V. 19 τὰ τὲ cod. 25-26 κατὰ συμβεβηκός] Ptol., *Tetrab.*, p. 11, l. 23 [Boll]. 26 πάσχον A; corr. ποιεῖν cod., corr. collato v. 16. 27 ζωοποιοῦσα A. 29 πάντα ἀγαθά A. 30 οἱ omis. A. 32 γὰρ omis. A. 32 ss. Cf. excerptum quod ex cod, 19, f. 417v infra edent Martini et Bassi. 32 πρωτοπεδάρχας V. 34 ὡς εἴρηται omis. V.

ἐκλαμβάνῃ, οἱ μὲν περὶ τὸν Κρόνον καὶ Ἄρεα τῆς διακριτικῆς καὶ φθαρτικῆς ἐνεργείας ὄντες εὑρεθήσονται, οἱ δὲ περὶ τὸν Δία καὶ Ἀφροδίτην τῆς συγκριτικῆς καὶ αὐξητικῆς· ἔσονται δὲ τότε οἱ ἀστέρες ἀποτελεστικοὶ ὅταν τὴν Σελήνην ἢ τὸν ὡροσκόπον ἢ τὸν σημαίνοντα τὸ ζητούμενον κεφαλαῖον τετραγωνίζωσιν.

β′. Περὶ ἐποχῶν καὶ κέντρων καὶ κλήρων τῶν ἑπτὰ πλανωμένων ἀστέρων·

Ἔστι μὲν οὖν οὕτως ἡ ἐπίσκεψις τῶν ἑπτὰ πλανήτων ☉ ♏ δ′ η′ ν′, ☾ ♉ ιη′ ι′, ♄ ♈ κδ′ κη′, ♃ ♍ δ′ ιβ′, ♂ ♌ ιζ′ λε′, ♀ ♏ κα′ νη′, ☿ ♏ ιδ′ λβ′.

Ἥλιος Σκορπίου δ′ η′ ν′· λοξωθεὶς πρὸς τὸν ἰσημερινόν ἐπὶ τοῦ διὰ τὸν πόλον αὐτοῦ κύκλου ζ′ <πρὸς> νότον μοί. ιγ′, καὶ νότον κατέρχεται ἐπὶ βαθμοῦ τρίτου ἐπέχων τοῦ δ′ βαθμοῦ λ′· συνεγγίζει δ' αὐτῷ ἀπλανὴς ἀστὴρ ὁ μεταξὺ τῶν χηλῶν τοῦ Σκορπίου μεγέθους δ′ ἐπέχων κατὰ μῆκος Σκορπίου δ′ μς′, κατὰ δὲ πλάτος ἐπέχων τοῦ διαμέσου τῶν ζῳδίων κύκλου πρὸς νότον α′ λ′· ὡς ἀπέχειν τοῦ Ἡλίου, κατὰ μὲν μῆκος εἰς τὰ ἑπόμενα, ο′ κδ′, κατὰ δὲ πλάτος α′ λς′· οἴκῳ Ἄρεως· ὁρίοις Ἄρεως κατὰ Πτολομαῖον καὶ Αἰγυπτίους· τριγώνῳ Ἀφροδίτης, μετοχῇ Ἄρεως, δεκανῷ α′ καὶ τρίτης Σελήνης, ὑψώματι οὐδ(ενός), ταπεινώματι Σελήνης, προσώπῳ Ἄρεως, μονομοιρίᾳ Σελήνης.

Σελήνη Ταύρου ιη′ ι′, ἀπέχουσα κατὰ πλάτος ἀπὸ τοῦ διαμέσου τῶν ζῳδίων κύκλου πρὸς ἄρκτον β′ μβ′, ἀνέρχεται βορρᾶν ἐπὶ βαθμοῦ τρίτου ἐπέχουσα τοῦ βαθμοῦ τὸν ι′ κδ′· συνεγγίζει δ' αὐτῇ ἀπλανὴς ἀστὴρ ὁ ἐπὶ τῆς ἐκφύσεως τοῦ βορείου κέρατος τοῦ Ταύρου, μεγέθους δ′, ἐπέχων κατὰ μῆκος Ταύρου ιθ′ ις′, κατὰ δὲ πλάτος ἐπέχων τοῦ διαμέσου τῶν ζῳδίων κύκλου πρὸς νότον ο′ ιε′, ὡς ἀπέχειν τῆς Σελήνης κατὰ μὲν μῆκος εἰς τὰ ἑπόμενα α′ ϛ′, κατὰ δὲ πλάτος πρὸς νότον β′ νζ′· οἴκῳ Ἀφροδίτης· ὁρίοις κατὰ Πτολομαῖον καὶ κατ' Αἰγυπτίους Διός, τριγώνῳ Ἀφροδίτης, μετοχῇ ἰδίᾳ, τρίτου Ἄρεως, ὑψώματι ἰδίῳ, ταπεινώματι οὐδ(ενός), δεκανῷ β′, προσώπῳ ἰδίῳ, μονομοιρίᾳ Διός.

1 κατ' αὐτοὺς ἐκλαμβάνει V; corr. 3 ἕπονται V. 4 τὸ ὡρ. V. 5 κη′ (pro κεφαλ.) V. τετραγωνίζουσιν codd. 8 Incipit M, f. 80v. 8-9 omis. M. 9 ♄ ♓ cod. 10 In marg. λύσις deinde Περὶ ἡλίου V. Pro ἰσημερινὸν sigla praebent codd. quae μεσεμβρινὸν legenda esse videntur; corr. Boll. 11 πρὸς suppl. 12 αὐτοῦ codd.; corr. 13 ἀπέχων codd. 14 κατὰ δὲ πλάτος. " Latitudinum et longitudinum stellarum fixarum numeros ex Ptolemaeo correximus; sed numeros, quibus differentiae inter planetae et stellae cuiusdam fixae locos indicantur, raro corrigere ausi sumus, incerti saepe haerentes, utrum emendandus sit numerus planetae adscriptus an vero numerus differentiae. „ Boll. 15 ἐπέχειν V : ἐπέχει M : corr. 17 κατὰ αἰγυπτίους omis. M. 18 καὶ γ′ ☾ cod. Cf. Dorotheum apud Hephaest. I. 6; Bouché-Leclercq, *Astr.*, 204. ὑψωματὶ ὁ V : ὑψώματι οὐδ′ M. 20 Περὶ Σελήνης in marg. V. 21 ἐπιθμοῦ γ′ V. 23 βορίου M : ὡρίου V. 24 μέρος ante μῆκος expunct. V 25 ἐπέχειν V : ἐπέχει M : corr. 28-29 κατὰ - αἰγυπτίους omis. M. 28 τρίτον M : τρίτου V. 29 οὐδενὸς] ουδ′ M : ὁ V, cf. v. 18.

Κρόνος Κριοῦ κδ' κη', ἀπέχων κατὰ πλάτος <τοῦ> διαμέσου τῶν ζῳδίων κύκλου ζ' <πρὸς> νότον, ἀνέρχεται <βορρᾶν> ἐπὶ βαθμοῦ α' ἐπέχων τοῦ βαθμοῦ τὸν η'· συνεγγίζουσι δ' αὐτῷ ἀστέρες ἀπλανεῖς, εἰς μὲν τὰ προηγούμενα ὁ ἑπόμενος τῷ ἐν τῷ ῥομβοειδεῖ τετραπλεύρῳ τοῦ Κριοῦ καὶ ἐπ' ἄκρου τοῦ μυκτῆρος τοῦ Κήτους ἐπέχων κατὰ μῆκος Κριοῦ <κα' ις'>, κατὰ δὲ πλάτος πρὸς νότον ἐπέχων τοῦ διαμέσου τῶν ζῳδίων κύκλου ζ' με', ὡς ἀπέχειν τοῦ Κρόνου κατὰ μῆκος εἰς τὰ προηγούμενα γ' ιβ' ι', κατὰ δὲ πλάτος δ' ω'· εἰς δὲ τὰ ἑπόμενα συνεγγίζει αὐτῷ τῶν ἐν τῇ οὐρᾷ τοῦ Κριοῦ τριῶν ὁ προηγούμενος, ἐπέχων κατὰ μῆκος Κριοῦ κζ' <κς'>· κατὰ δὲ πλάτος <τοῦ> διαμέσου τῶν ζῳδίων κύκλου πρὸς ἄρκτον α' μ', ὡς ἀπέχειν τοῦ Κρόνου κατὰ μῆκος εἰς τὰ ἑπόμενα β' νη', κατὰ δὲ πλάτος δ' με'· ἀμφότεροι δὲ ἀστέρες μεγέθους δ'· ἀπὸ πρώτου τοῦ στηριγμοῦ, ἀφαιρέτης, ἑσπέριος φαινόμενος, ποιησάμενος τὴν τούτου ἀκρονυχίαν πρὸ ἡμερῶν πολλῶν, οἴκῳ Ἄρεως, ὁρίοις Ἄρεως, τριγώνῳ Ἡλίου, μετοχῇ Διὸς καὶ τρίτου Κρόνου, ὑψώματι Ἡλίου, ταπεινώματι ἰδίῳ, δεκανῷ γ', προσώπῳ Ἀφροδίτης, μονομοιρίᾳ Ἑρμοῦ.

Ζεὺς Παρθένου δ' ιβ', ἀπέχων κατὰ πλάτος τοῦ διαμέσου τῶν ζῳδίων κύκλου πρὸς ἄρκτον ο' λε' βορρᾶν ἀνέρχεται ἐπὶ βαθμοῦ γ'· συνεγγίζει δ' αὐτῷ ἀπλανὴς ἀστὴρ ὁ ἐπ' ἄκρας τῆς νοτίας καὶ ἀριστερᾶς πτέρυγος τῆς Παρθένου μεγέθους γ', ἐπέχων κατὰ μῆκος Παρθένου β' λς', κατὰ δὲ πλάτος <τοῦ> διαμέσου τῶν ζῳδίων κύκλου πρὸς βορρᾶν ο' ι', ὡς ἀπέχειν κατὰ μῆκος τοῦ Διὸς εἰς τὰ προηγουμένα α' λς', κατὰ δὲ πλάτος ο' με'· μηδέπω ποιήσαμενος τὸν πρῶτον στηριγμόν, ἑῷος φαινόμενος, οἴκῳ Ἑρμοῦ, ὁρίοις Ἑρμοῦ, τριγώνῳ Ἀφροδίτης, ὑψώματι ἰδίῳ, ταπεινώματι Ἀφροδίτης, δεκανῷ α', προσώπῳ Ἡλίου, μονομοιρίᾳ Ἄρεως.

Ἄρης Λέοντος ιζ' λε', ἀπέχων κατὰ πλάτος τοῦ διαμέσου τῶν ζῳδίων κύκλου πρὸς ἄρκτον α' ε', ἀνέρχεται βορρᾶν ἐπὶ βαθμοῦ β', ἐπέχων τοῦ βαθμοῦ τὸ ἥμισυ· συνεγγίζει δ' αὐτῷ ὁ ἀπλανὴς ἀστὴρ τῶν ἐν τοῖς γλουτοῖς τοῦ Λέοντος ὁ νοτιώτερος μεγέθους γ', ἐπέχων κατὰ μῆκος Λέοντος <ι> θ' νς', κατὰ δὲ πλάτος ἀπέχων <πρὸς> βορρᾶν <τοῦ> διαμέσου τῶν ζῳδίων κύκλου θ' μ', ὡς ἀπέχειν τοῦ Ἄρεως κατὰ μῆκος

Γίνωσκε ὅτι ὁ κόσμος οὗτος σύνισταται ἐκ πυρός, ἀέρος, ὕδατος καὶ γῆς· τοιουτοτρόπως οὖν συνίσταται καὶ ὁ οὐρανός· ὅτε γὰρ ὁ Κριὸς ἀνατέλλει, πυρῶδες ζῴδιον ὄν, τὸ ὑπόγειον κέντρον ἐστὶν ὁ Καρκίνος, ὅπερ ἐστὶν ὑδατῶδες, τὸ δὲ ἑξῆς κέντρον ἐστὶν ὁ Ζυγός, ὅπερ ἐστὶν ἀερῶδες, τὸ δὲ μεσουράνημά ἐστι γεῶδες· ἄρχουσι δὲ τὰ μὲν πυρώδη ζῴδια τῆς ξανθῆς χολῆς, τὰ δὲ γεώδη τῆς μελαίνης χολῆς, τὰ δὲ ὑδατώδη τοῦ φλέγματος, τὰ δὲ ἀερώδη τοῦ αἵματος[1], καὶ ὥσπερ ὁ οὐρανὸς οὐ παύεται τῆς κινήσεως μίαν ῥοπήν, οὕτω καὶ ἡ καρδία καὶ ὁ πνεύμων οὐ παύεται τῆς κινήσεως μίαν ῥοπήν.

F. 273v. Περὶ παιγνίου οἷον ζατρικίου[2] ἢ ταβλίου.

Ὅτε ζατρίκιον ἢ ταβλίον παίζῃς, ἰδὲ τὴν Σελήνην ἐν ποίᾳ μοίρᾳ ἐστὶ καὶ ἆρά γε ἐν τῇ ἀνατολῇ ἐστιν ἢ ἐν τῇ δύσει καὶ εἰ βορεία ἐστὶν ἢ νοτία, καὶ κάθισον ἐν τόπῳ ἔνθα ἐστὶν ἡ Σελήνη μὴ μόνον τῇ ἀνατολῇ καὶ τῇ δύσει προσέχων ἀλλὰ καὶ τῷ βορρᾷ καὶ τῷ νότῳ. F. C.

1 Δελεμῖται sunt incolae regionis Dêlam vicinae montibus Gîlân. Cf. Pauly-Wissowa, *Realc.*, s. v. μαροῦν B. Est Margiana Graecorum (Marghu, Mouru, hodie Merw.). 3 βαραμάνων A. 4 " Scribendum est Ραΐ i. e. Ragai (Ῥάγαι) metropolis in cuius locum successit urbs regia Teherân, quae paulo ab ea distat ". [Th. N.] Ἀμόλ est Amol prope mare Caspium. Vocabulum persicum adamussim ex antiquo nomine Ἀμάρδοι ortum est ". [Th. N.] 5 σπάχες A. " Depravatio nominis Spâhân, Ispâhân ". [Th. N.] χα(σ)άς B : χασάς (οι vel ορ super α) A. " Hoc verbum corruptum esse videtur ex nomine Χουσασταν vel Χουζασταν i. e. regio Chûz sive Susiana ". [Th. N.] 6 κοῦφαι B : κοῦφε A. " Id est Kûfa metropolis quam Arabes non longe ab antiqua Babylone condiderunt et quae post pauca saecula conlapsa est ". [Th. N.] 7 Iberia nota est. " Pro Ἀβασβάν, l. Ἀβασγάν seu Ἀβασκάν i. e. terra Abasgorum (Ἀβασγοί), qui Caucasum incolebant ". [Th. N.] Cf. Pauly-Wissowa, *Realenc.*, s. v. 8 A(ngelicanus) f. 15r. 9 ἐκ A : ἀπὸ B. 10 τοιουτότροπ(ον) B. 11 ζῴδιον B : ζῶον A. 14 ζῶα A. 16 παύβεται B. ῥωπί B. 18 A(ngelicanus) f. 58v. οἵων B : omis. A. ταυλίου codd. 19 ταυλί(ον) A : ταυλία B. ἴδε A : ἤδε B. ἐν omis. B. 21 νότος B. 22 τὸ βορᾶ.

[1] Haec doctrina medicorum fuit, cf. *Hippocratis epistolam ad Ptolemaeum regem* ab Ermerins (*Anecdota medica graeca*, 1840, p. 279) editam : Συνέστηκεν ὁ κόσμος ἐκ στοιχείων τεσσάρων οἷον πυρός, ἀέρος, ὕδατος, γῆς ... τὸ μὲν αἷμα ἔοικε τῷ ἀέρι, τὸ δὲ φλέγμα τῶ ὕδατι, ἡ δὲ ξανθὴ χολὴ τῷ πυρί, ἡ δὲ μέλαινα τῇ γῇ.

[2] Ludus scacchorum apud Orientales in honore fuisse scimus (cf. van der Linde,

Tonitruale ignoti auctoris.

Excerptum anepigraphum, quod ff. 327v-329 codicis Bononiensis, multis corruptelis inquinatum, legitur, ex duobus fontibus provenire videtur quorum verba scriptor quidam Byzantinus conglutinavit. In priore praesagia secundum signorum zodiaci, in altero secundum mensium anni ordinem disponebantur. Multa cum Aegyptiorum, Nigidi, Vicelli tonitrualibus fere consentiunt quae Curtius Wachsmuth iterum nuper edidit (Lydus, *De Ostentis*, 1897, p. 57-92); nonnulla ad opusculum Melampodis, quae supra (p. 110) divulgavimus, vel ad scriptiunculam anonymi quae in *Catal. Mediolan.* p. 50 praebetur, propius accedunt; alia vero ab omnibus differunt. Quae singillatim adnotare immodicum et parum utile esset, at non minimi erit momenti fragmentum hoc studiosis qui historiam huiusmodi superstitionum persequi voluerint.

Ἐὰν ἐν τῷ Κριῷ βροντήσῃ ἀπὸ τῆς ἀνατολῆς *** εἰς φθορὰν καὶ ἀκαταστασίαν φθαρήσονται καὶ κτημάτων ἀπώλ(εια)· εἰ δὲ καὶ σεισμὸς γένηται καρπῶν φθορὰ καὶ λοιμὸς ἔσονται. — Ἐὰν ἐν τῷ Μαρτίῳ βροντήσῃ, ἀπ(ώλειαν) ἀνδρῶν σημαίνει, σί(του) καὶ οἴνου φθορά<ν>· ἐὰν ἐν τῇ νυκτὶ ὕδατα πέσῃ εἰς τὴν γῆν, βασιλέας διαφέρει τοὺς περὶ αὐτῶν(?), ἐὰν δὲ ἐν τῇ ἡμέρᾳ, ὕδατα φανῶσ(ι), κατασφαγὴ γίνεται· ἐὰν δὲ σ(ε)ι(σμὸς) εὐρὺς γένηται, πόλεμον καὶ ταραχὴν ση(μαίνει).

Ἐὰν ἐν τῷ Ταύρῳ βροντήσῃ, φθορά(ν) σίτου κατὰ τόπους σημαίνει καὶ χαρά(ν) ἐν ταῖς βασιλικαῖς αὐλαῖς· εἰ δὲ εἰς τὴν ἀνατολήν, ἀνόμιμον λοιμὸν καὶ ἀλλήλων σφαγὴν καὶ ἄκουσμα βασιλέως καὶ νόσον ὀλίγον καὶ τετραπόδων ἀπώλεια<ν>· εἰ δὲ καὶ σεισμός γένηται, καύματα μέγιστα καὶ συνοχὴ πολλή. — <Ἐὰν> ἐν τῷ μηνὶ τῷ Ἀπριλίῳ βροντήσῃ, πάντων τῶν ὀψίμων φθορά<ν> σημαίνει ἐκτὸς τῆς ἐλαίας καὶ πολλὰ περὶ θαλάσσῃ εὐπορήσουσιν· ἐὰν δὲ τὸ σεληναῖον ἐκλείψῃ, ἀνθρώπων φθορὰ<ν> ση(μαί)ν(ει)· ἐὰν δὲ σεισμὸς γένηται, ταραχὴ<ν> καὶ θόρυβον σημ(αί)ν(ει).

<Ἐ>ὶ ἐν Διδύμοις βροντήσῃ, νόσον παρὰ ἀνθρώποις δηλοῖ καὶ φθορὰν ἰδιωτῶν καὶ ὀσπρίων ἀπώλ(ειαν) καὶ σάλου πυρὸς χειμώνων ἐνδόξων [καὶ πάντων τοῦ ὀσπρίων φθορὰς καὶ] ἐπιφάνειαν καὶ ἑρπετῶν ἀπώλεια<ν>· εἰ δὲ καὶ σεισμὸς γένηται, ταράσ<σ>εται ἡ ἀ(ν)δ(ρῶν) πάντων χώρα. — Ε<ἰ> ἐν τῷ μηνὶ τῷ Μαΐῳ βροντήσῃ, ἀκαταστασία<ν>

1 ἀπετην (?) ἀνατολή cod., post ἀνατολῆς lacunam signavi. 2 κτησμάτων cod.: κτημάτων corr., num κτισμάτων? 3 λημὸς cod. 5 ὕδατα hieroglyphic. expressum (v. Gardthausen, *Griech. Paläograph.*, p. 258). βασιλεῖς cod. αὐτὸν cod. 9 Leg. ἀνώνυμον? 12 Ἐὰν inserui. 14 σελήνιον cod. ut infra. 18 ἰδιοτῶν cod.: an αἰδοιοτάτων? Cf. Fontei, *Tonitruale*, p. 90, l. 23 sqq. 19 καὶ πάντων - φθορὰς καὶ uncis seclusi. 20-21 ante πάντων : ἀδ' cod., ἀνδρῶν dubitanter scripsi.

Leerboek van het Schaakspel, Utrecht, 1876, p. 6 ss.), eoque fit ut saepe laudetur in scriptis Graecis ex Arabica vel Persica lingua versis velut Achmetis *Oneirocr.*, 241 (p. 218 ed. Rigaltii); cf. Du Cange, *Glossar.*, s. v. Ζατρίκιον.

ἀνθρώπων δηλοῖ καὶ κόσμου ταραχήν· ἐὰν δὲ τὸ σεληναῖον ἐκλείψῃ, λοιμὸν σημαίνει· ἐὰν δὲ ὁμίχλη εἰς τὴν γῆν πέσηται, φθορά<ν> πάντων τῶν καρπῶν ση(μαίνει) καὶ ἀνδρῶν δυναστῶν ἀπώλ(ειαν)· εἰ δὲ καὶ σεισμὸς γένηται, λιμὸν καὶ σίτου σπάνεις καὶ κλαυθμὸν λύπης.

<Ε>ἰ ἐν Καρκίνῳ βροντήσῃ, ἄνεμοι μεγάλοι πνεύσουσι, διὸ καὶ τὰ γενόμενα ἡμέρᾳ ἀγενήσονται, σῖτος δὲ καὶ κριθὴ πλησθήσονται καὶ οἱ ἄνθρωποι πληγηθήσονται· <σημαίνει> καὶ θανάτ(ους) βοῶν, χειμώνων δὲ ἐνδόξων, καρπῶν ὀλίγην, ὀσπρίων φθορὰν ὀλίγην, πλὴν ἀπὸ τῆς βορ(είας) ἀπώλ(ειαν) καὶ ἡγεμόνος τινὸς ἀσφάλ(ειαν)· εἰ δὲ καὶ σεισμὸς γένηται, ἀπώλ(ειαν) ἐκλελεγμένων ἀνδρῶν. — <Ε>ἰ ἐν τῷ Ἰουνίῳ βροντήσεται, εὐφορία(ν) δηλοῖ καὶ ἀνδρῶν δυναστῶν ἀπώλειαν· εἰ δὲ καὶ σεισμὸς γένηται, τὰ αὐτὰ τοῦ Μαίου γενήσεται.

<Ε>ἰ ἐν τῷ Λέοντι βροντήσῃ, σίτου καὶ οἴνου καὶ τῶν ὅλων καρπῶν φθορά<ν> σημαίνει καὶ κατὰ τὴν δύσιν αἵρεσιν καὶ βλάβην, ψώρα<ν> τε καὶ λειχῆνα [ἐκτρ(ίβει) τοὺς ἀνθρώπους αὐτοὺς] καὶ κινδύνους μεγάλους <καὶ> ὀσπρίων ἀπώλ(ειαν)· εἰ δὲ καὶ σεισμὸς γένηται, σοφοὶ ἀπολοῦνται. — Ἐὰν ἐν τῷ μηνὶ τῷ Ἰουλίῳ βροντήσῃ, οἴνου εὐφορία ἔσται καὶ μέγας ἀνὴρ τελευτήσει· ἐὰν δὲ καὶ σεισμὸς γένηται, θόρυβον ἀνθρώπων καὶ τυράννων αἱρήσεις δηλοῖ. ἐὰν δὲ ὁμίχλη εἰς τὴν γῆν πέσῃ, ἡγουμένου ἀποστασία ἔσται· ἐὰν δὲ θ<ε>ῖον χολὴν αὐτῷ μὴ εὕρῃς (?), λιμὸν δηλοῖ.

Ἐὰν ἐν τῇ Παρθένῳ βροντήσῃ, φίλων ἔχθραν καὶ βασιλικῶν ἀπώλεια<ν> καὶ κατὰ τὴν Αἴγυπτον σάλον, πλὴν ἀπώλ(ειαν) εἰς δυσμῶν τόπους, φθορά<ν> σίτ(ου), καὶ πάντα τὰ ἐπὶ τῆς γῆς καὶ ὄσπρια καὶ τὰ πετεινὰ κρυβήσονται· χυμὸς δὲ ὄψιμος ἐπαχθὴς καὶ θάνατος· εἰ δὲ καὶ σεισμὸς γένηται, νοσήματα πολλὰ σημαίνει. — Ἐὰν ἐν τῷ μηνὶ τοῦ Αὐγούστου βροντήσῃ, θόρυβον ἀνθρώπων σημ<αί>ν<ει>· εἰ δὲ ἀπὸ δυσμῆς βροντήσῃ, ὁ καρπὸς ἀπὸ θηρίων <ἐ>βρώθη· ἐὰν δὲ ἀντ' ἄρ(κτου) (?) γένηται, ἀνὴρ μέγας θνήσκει· ἐὰν δὲ ἦχος ἐκ τῆς γῆς γένηται, λιμόν, φθορά<ν> ση(μαίνει)· ἐὰν δὲ ὕδατα <ἐν νυκ>τὶ ἢ ἡμέρᾳ φανῶσι, ἀνδρῶν μεγάλων σφαγὴν σημ(αί)ν(ει)· ἐὰν καὶ σεισμὸς γένηται, φόβον καὶ στενοχωρίαν καὶ λιμοὺς <καὶ> τετραπόδων ἀπώλειαν καὶ ἀρχόντων φυγὴν σημαίνει· ἐὰν δὲ πρὸς μίαν ἡμέραν τοῦ Αὐγούστου ἕως πρὸ η' καλανδῶν *** ἐὰν δὲ καὶ σεισμὸς γένηται, πόλεμος μέγας ἔσται.

Ἐὰν ἐν τῷ Ζυγῷ βροντήσῃ, λιμὸς καὶ ἀλλήλων σφαγή, καρπῶν φθορὰ πολλή, ὕστερον δὲ πολλοὶ ἀπολοῦνται, ἔνδοξος δὲ χειμώνων

6 An πρησθήσονται? κρίθος cod. 7 σημαινει inserui. 9 βαρ' ut vid.: βορείας scripsi. 11 ἐμφορία cod.: εὐφορίαν dub. scripsi. 15 ἐκτρον' (?) τοὺς ἀνθρώπους αὐτοὺς uncis seclusi. 17 εὐφορία] φορία cod. 24 ἐπιτη γς' cod.: ἐπὶ τῆς γῆς scripsi dubitanter. 25 πεδηνὰ cod. 28 δυσμοὺς (?) cod. 32 καὶ inserui. 34 σκαδλ' cod.: καλανδῶν scripsi et lac. signavi. 37 ἔνδειξις scripserim, sed cf. supra et infra, p. 130, l. 39.

καὶ ποταμοῦ σφοδροῦ· ἀνδρῶν καὶ γυναικῶν ἀπώλειαν, ἑρπετῶν καὶ κυνῶν λύσ<σ>αν καὶ νόσους· εἰ δὲ καὶ σεισμὸς γένηται, θάνατον πολλοῖς σημαίνει. — Ἐὰν ἐν τῷ μηνὶ τοῦ Σεπτεμβρίου βροντήσῃ, σίτου φθορὰ ἔσται, ἐπακολουθήσ(ει) δὲ τοῦ οἴνου· ἐὰν δὲ ψῦχος γένηται ἀπὸ πρώτης καλανδῶν σῖτος κακὸς ἔσται· ἐὰν δὲ ὁ ἦχος πρὸ τριῶν καλανδῶν, εὐετηρίαν δηλοῖ· ἡ δὲ οἰκία ἡ οἰκοδομουμένη, ἐὰν σεισμὸς γένηται, συμφέρει τῷ οἰκοδομοῦντι ἄλλως αὖ τοῖς κυριεύουσι καὶ ὁ κύριος αὐτοῦ ἀποθανεῖται.

<Ε>ἰ ἐν Σκορπίῳ βροντήσῃ, λιμὸν καὶ ἀλλήλων σφαγὴν δηλοῖ, τὰ νέα ἀπολοῦνται, ἔνδοξος δὲ χειμῶνος, ὀλίγη δὲ ἐπικαρπ(ία), ὀσπρίων φθορά· εἰ δὲ καὶ σεισμὸς γένηται, χαρὰ πολλὴ καὶ πᾶν ἀγαθόν. — Ἐὰν ἐν τῷ μηνὶ τῷ Ὀκτωβρίῳ βροντήσῃ ἀπὸ τῆς ἀνατολῆς, οἴνου καὶ ἐλαίου πλησμονὴ πολλή· ἐὰν δὲ ὀμίχλη ἐπὶ τὴν γῆν ἐμπέσῃ, εὐφορία<ν> δηλοῖ· ἐὰν δὲ καὶ σεισμὸς γένηται, ὥρᾳ πρώτῃ τοῦ μεσονυκτίου ἢ πρὸ η' <τοῦ> φωσφόρου (?), θόρυβον τὸν ἀπὸ ξενιτείας σημαίνει.

Ἐὰν ἐν τῷ Τοξότῃ βροντήσῃ, σάλος ἐν ἐκείνῃ τῇ χώρᾳ <καὶ> καρπῶν φθορὰ καὶ τετραπόδων καλῶν ἔσται, περὶ δὲ τοῦ τόπου τῆς ἀνατολῆς λύσιν σημαίνει χειμῶνος, πλ<ε>ιόνων (?) ἐπιφάνειαν καὶ χαρὰ πάσῃ τῇ οἰκουμένῃ· εἰ δὲ καὶ σεισμὸς γένηται, ποιμνῶν καταφθορὰν δηλοῖ. — Ἐὰν ἐν τῷ μηνὶ τῷ Νοεμβρίῳ βροντήσῃ, σῖτον πολύν καὶ μεγάλου ἀνθρώπου τελευτὴ(ν) σ(ημαίνει)· ἐὰν δὲ ὁ ἦχος ἐκ τῆς γῆς γένηται, φυγὴν ἀρχόντων δηλοῖ· ἐὰν σεισμὸς γένηται, δυναστῶν ἀνδρῶν ἀπώλειαν.

<Ε>ἰ ἐν τῷ <Αἰγό>κερῳ βροντήσῃ, ὄμβρον σημαίνει ἡμέρᾳ, βασιλέων καὶ σάλον καὶ ψόγον καὶ ἀνδρῶν ἀπρεπῶν <καὶ> μεγάλην ἐπιφάνεια<ν> ἑτέρου βασιλέως, τὸ<ν> δὲ ἐν τῇ ἀνατολῇ τόπον κατήκοον <?> τῆς οἰκουμένης· λαὸς δὲ ὀλίγος γενήσεται καὶ θάνατος ἀνθρώπων, καρπῶν φθορά, τὰ δὲ ὄσπρια ἐρεβηθήσονται κατὰ τρεῖς χαλάζας καὶ κατὰ θαλάσσαν χειμῶνα μεγίστον καὶ γάλη<ν> πολλὴν πλὴν καὶ ἀπώλειαν καὶ ἀφανισμὸν μειζόνων ἀνδρῶν, μαλακισμὸς (?) γενήσεται, δυσδαίμονες ἔσονται οἱ τῶν ἀνθρώπων πλείους, καὶ χειμῶνες πικροὶ καὶ ναυάγια καὶ σάλοι σφαλεροί· εἰ δὲ καὶ σεισμὸς γένηται, λιμός ἔσται ἀνδρῶν (?) πάντων χώρᾳ. — Ἐὰν ἐν τῷ μηνὶ τῷ Δεκε<μ>βρίῳ βροντήσῃ, θάνατος μεγίστων ἀνδρῶν ἐπέρχεται· εἰ δὲ σεισμὸς γένηται, χαρὰν πολλὴν καὶ ἀγαθοσύνην, καὶ φθορὰ<ν> δερμάτων δηλοῖ, χειμῶνας δὲ ὀψίμους γενέσθαι.

Ἐὰν ἐν τῷ Ὑδροχόῳ βροντήσῃ, πόλεμον δηλοῖ καὶ νόσους καὶ μαλακισμοὺς παρὰ τῶν ἀνθρώπων, εὐφορίαν σίτων καὶ κριθῶν καὶ τῶν τοιούτων ὁμοίων, ὀσπρίων δὲ σπανίαν, ἐνδόξους καὶ χειμῶνας

6 σκανδάλ(ων) cod. : corr. 7 τὸ οἰκοδομοῦντας cod. αὖ τοῖς] αὐτοῦ cod. 12 τὴν ἀνατολὴν cod. 13-14 ἐμφορία cod. 15 φωσφόρου ?] φάσκοντα cod. τοῦ inserui. 16 καὶ inserui. 26-27 κατήκη cod. 29-30 γάλη πολή πλίον cod. 33 ἀδ[1] ut supra cod. 38 ἐμφορ' cod.

καὶ ποικίλους γενέσθαι, τῶν σπειρομένων καὶ φυτευομένων πλείων εὐφορία, ἑρπετῶν δὲ ἀπώλ(εια) καὶ ἀνδρῶν ἐκλεκτῶν φθορά· εἰ δὲ καὶ σεισμὸς γένηται, πόλεμος καὶ νήστεις ἔσονται. — Ἐὰν ἐν τῷ μηνὶ Ἰανουαρίῳ βροντήσῃ, ἔσεται ἀπορία παντὸς κόσμου, ἐὰν ἦχος ἐξ οὐρανοῦ γένηται, νόσον σημαίνει τῇ χώρᾳ· ἐὰν ἡμέρᾳ δένοντος (*sic*) τὴν νύκτα, πόλεμον τόπῳ σημαίνει.

Ἐὰν <ἐν> Ἰχθύ<σιν> βροντήσῃ, σίτου φθορὰ<ν> κατὰ τόπους δηλοῖ ὀλίγην καὶ κίνδυνον καὶ σάλον κατὰ τὴν οἰκουμένην ἀνθρώποις καὶ ἐν τῇ πόλει λιμὸν καὶ ἀπώλ(ειαν) ἢ πάντα τὰ ὄψιμα καλὰ ἔσονται, βοῶν ἀπώλ(ειαν) μάλιστα δὲ ἑρπετῶν καὶ θηρίων· εἰ δὲ καὶ σεισμὸς γένηται, νοσήματα πολλά. — Ἐὰν ἐν τῷ μηνὶ τῷ Φεβρουαρίῳ βροντήσῃ, πολλὰ ἀγαθὰ σημαίνει εἰς τὸν καρπὸν *** σημαίνει καὶ ἀκαταστασία<ν> καὶ νόσον.

A. O.

1 τὰ σπειρόμενα καὶ φυτευόμενα cod. 6 τόπου cod. 8 ἐν inser. 12 post καρπὸν lacunam signavi.

EXCERPTA EX CODICE 19 (Neapol. II. C. 33)

F. 233. Λεκανομαντεία [1].

Ἐν τῇ πρώτῃ ἡμέρᾳ ὥρᾳ πρώτῃ τοῦ Ἡλίου ἀνατέλλοντος ἔπαρον λεκάνην καινήν, ὁμοίως κενήν· εἶτα λαβὼν ἐλθὲ εἰς τὸν τρίοδον παλαιὸν καὶ ὤρυξον λάκκον καὶ βάλε τὴν λεκάνην μέσον· τῇ δὲ νυκτὶ εὑρὲ μέλαν ἵππον, ἵππευσον δὲ ἐν αὐτῷ ἔχων ἐν τῇ χειρί σου μερόπειον ὀστέον, εἰρηκέναι δὲ οὕτως· « Ξερίον, Ἀριήλ, Σαλφρενάς, Μοροῆς Μιζξαούλ, † Ἡμντλβλ, Φορέλ, Φερεήλ, Ναρκισοῦ, Ξυμπωνά, Σαραφαήλ, Βερζεβουήλ, Μουνοχόθ, Ἀλαήλ, μισοκλήσους τοὺς δαίμονας τῆς δύσεως, τοὺς δαίμονας τοῦ Κριοῦ· οἱ δαίμονες τοῦ μεγάλου Ἅιδου, [f. 233v] ὧν πρῶτος καλούμενος Ὀρνέας, περὶ τοῦ Θέθ, Μαλδούωρ, Φαρτοῦελ, Σαρσαννά, Καρκινὰρ καὶ ἡ γέννα αὐτοῦ ὀνοσκελίς [εἰς] τὸ ὄνομα Σεμιράμηλ· οἱ δαίμονες τῶν τριόδων ἔρχεσθε καὶ εἰσέρχεσθε εἰς τὴν ἐμὴν ἀπόκρισιν. » καὶ οὕτως μὴ δειλιάσῃς, ἀλλὰ στῆσον τὴν διάνοιάν σου· ὁμίλει καὶ ἐσὺ ἀποκρινόμενος· ὅταν δὲ στραφῇς, λέγε· « ἅρματα οὐρανοῦ πυρίνου καὶ βασιλεὺς Σαβαὼθ τετραγεγραμμένος εἰς † ναζόρεος νέος. » καὶ καταλάβε <καὶ> διαμέρισον.

[D. B. et Æ. M.]

1 ἀρχ<ή> τῆς λεκανομαντίας cod. 2 ἀνατέλοντος cod. 3 λα<βών> cod. τριώδ<ιον> cod. 4 ὤρηξον. 5 ἵπευσον cod. ἔχον cod. μερώπιον cod. 6 Ἀριήμ cod. 10 ὂν ἀ^{ος} cod. γένη cod., nos γέννα. 12 ὀνοσκελίδα εἰς cod., ὀνοσκελίς scripsimus, εἰς uncis inclusimus. τριώδ<ιων> cod. 14 ἔσυ cod., scripsimus ἐσὺ. 15 πυρίνων cod. 16 σαββαώθ cod. τετραγγραμένος. An εἷς, Ναζωραῖος, νέος? [Cumont].

---

[1] Haec formula auctoris, ni fallimur, christiani (v. 15, Ναζωραῖος) nomina angelorum et daemonum continet plerumque corrupta, quae iam is qui scripsit interpretari non posset. Ista verborum nos commonent Hieronymi (*Epist. 75*, t. I, col. 687, Migne, *P.L.*) : ***Armagil, Barbelon, Abraxas, Balsamum, et ridiculum Leusiboram ceteraque magis portenta quam nomina, quae ad imperitorum et mulierculærum animos concitandos quasi de Hebraicis fontibus hauriunt, barbaro simplices quosque terrentes tono; ut quod non intelligunt plus mirentur.*** [F. C.] — Formulam magicam eiusdem farinae edidimus in *Catal. Mediol.*, p. 53.

F. 315. Versus[1].

Λαβὼν τὸν Ἀστράμψυχον, ὦ καλὲ φίλε,
Σὺν τῷ ὀργάνῳ τῷ πανσόφῳ καὶ κρείττῳ
Ἔχων [f. 315ᵛ] τε φράσεις καὶ λύσεις πολλῶν τρόπων
Διά τε νοσήματος, ζωῆς, θανάτου,
Ψήφους καλλίστους εὐμαθεῖς πανωραίους
Σοφοῦ Πετοσίρεως καὶ Αἰγυπτίων
Ἅμα Πυθαγόρᾳ τε ὑψηλοτάτῳ
Δηλοῦν νίκας, βέλτιστε, ἀνδρῶν μαχίμων,
Πάντων πραγμάτων εὐπόρων καὶ ἀπόρων
Σύνες ἀνάγνως εὐφυῶς, ἵνα μάθῃς
Ἐν ἀκριβείᾳ καὶ πολλῇ ἀσφαλείᾳ
Σαφήνειαν πάντων τε τῶν γεγραμμένων·
Καὶ οὕτω τυχὼν τοῦ ποθουμένου, φίλε,
Ἔχοιμεν ἡμεῖς εὐχαρίστους ἐπαίνους
Καὶ μνήμην ἀεὶ τοῦ ἀχωρίστου βίου.
Ὧδε τέλος σὺν θεῷ ἀμήν.

[D. B. et Æ. M.]

2 Ἀστράψυχον cod. 3 An volebat τὸν πάνσοφον καὶ κρείττω? 4 An ἔχοντα? 8 ὑψηλοτάτου cod., correximus. 11 Num leg. ἀναγνούς? μάθεις cod. 13 σαφήνιαν cod. 15 cod. ἔχειεν quod correximus dubitanter.

Ex Pauli Alexandrini Introductione excerptum.

Titulo decepti cum codicem Mutinensem 11, f. 79, et Neapolitanum 19, f. 379ᵛ, describeremus, hoc fragmentum ex opere Iuliani, cuius initium supra (p. 103) editum est, excerptum esse opinati sumus. Perperam, nam codice transcripto haec nil aliud esse animadvertimus nisi primum caput " Introductionis „ (Εἰσαγωγὴ εἰς τὴν ἀποτελεσματικήν) Pauli Alexandrini, primis et extremis verbis mutatis vel omissis. Frustulum tamen huius capitis publici iuris facere visum est, ut de indole codicis Neapolitani iudicari possit, qui editioni Schatonis (Witebergae 1586) interdum praeferendus est. [F. C.]

F. 379ᵛ. Παύλου Ἀλεξανδρέως ἐπίσκεψις ἀστρονομικὴ περὶ τῶν ιβ´ ζῳδίων.

Ἰστέον ὅτι τὸ ζῴδιον ἔχει δεκανοὺς τρεῖς, μοίρας λ´, λεπτὰ ζ´. ἀρχὴ δὲ τοῦ ζῳδιακοῦ κύκλου. ὁ Κριὸς ζῴδιον ἀρσενικόν, ἰσημερινόν, τροπικόν· οἶκος Ἄρεως, ὕψωμα Ἡλίου περὶ μοίρας ιε´, ταπείνωμα Κρόνου

3-4 Ἰστέον - κύκλου desunt in ed(itione). 3 λεπτὰ ͵αω´ coni. Kroll. 5 ιε´ cod., ιθ´ ed.

[1] Hi versiculi, nisi fallimur, eundem librarium auctorem habent, qui hoc modo scripta codicis praestantiora summatim indicavit.

περὶ μοίρας κ', τρίγωνον ἡμέρας μὲν Ἡλίου, νυκτὸς δὲ Διός· κεῖται δὲ <ἐν τῷ> κλίματι τῷ τῆς Περσίδος ἀπομεμερισμένον ἀνέμῳ ἀπηλιώτῃ, κυριεύει δὲ κεφαλῆς καὶ ὅλου προσώπου, ἀνατέλλει δὲ τὸ ζῴδιον ἐν τῷ Ἀλεξανδρείας κλίματι [f. 380] τρίτῳ ὄντι ἐκ τοῦ ἀφανοῦς [τοῦ] κόσμου εἰς τὸν ἐμφανῆ ἐν ὥραις α' γ' θ', χρόνοις δὲ κα'· ἔστι δὲ ἐν τῷ τοιούτῳ ζῳδίῳ τὸ μεσουράνιον κέντρον τοῦ κοσμικοῦ διαθέματος.

Δεύτερον ζῴδιον Ταῦρος· θηλυκόν, στερεόν, ἐαρινόν· οἶκος Ἀφροδίτης, ὕψωμα Σελήνης περὶ μοίρας γ', ταπείνωμα οὐδενός, τρίγωνον ἡμέρας μὲν Ἀφροδίτης, νυκτὸς δὲ Σελήνης· κεῖται δὲ ἐν τῷ κλίματι τῆς Βαβυλωνίας ἀπομεμερισμένον νότῳ, κυριεύει δὲ τραχήλου καὶ τένοντος, ἀναβαίνει δὲ τὸ ζῴδιον ἀπὸ τοῦ ἀφανοῦς κόσμου εἰς τὸ ἐμφανὲς ἐν ὥραις α' γ' ε', χρόνοις δὲ κε' κατὰ τὸ προκείμενον κλίμα.

Τρίτον ζῴδιον Δίδυμοι· ἀρσενικόν, δίσωμον, ἐαρινόν, ἀνθρωποειδές· οἶκος Ἑρμοῦ, ὕψωμα οὐδενός, κοίλωμα οὐδενός, τρίγωνον ἡμέρας μὲν Κρόνου, νυκτὸς δὲ Ἑρμοῦ· κεῖται δὲ <ἐν τῷ> κλίματι Καππαδοκίας ἀπομεμερισμένον λιβί, κυριεύει <δὲ> ὤμων καὶ χειρῶν, ἀναβαίνει δὲ τὸ ζῴδιον ἀπὸ τοῦ ἀφανοῦς κόσμου εἰς τὸ ἐμφανὲς ἐν ὥραις α' γ' ε' με', χρόνοις <δὲ> κη' κατὰ τὸ προκείμενον κλίμα. ἐν ταύτῃ τῇ τριζῳδίᾳ ἀπαρτίζεται ἡ τῆς ἐαρινῆς ὥρας τροπή, ἥτις καλεῖται ἀήρ.

Desinit codex Neapolitanus verbis ἐν ταύτῃ τῇ τριζῳδία ἀπαρτίζεται ἡ τῆς χειμερινῆς ὥρας τροπή, ἥτις καλεῖται ὕδωρ. = Quat. A, 4v, l. 10, editionis a. 1586. [D. B. et Æ. M.]

F. 387v. De plantis quae secundum planetarum naturam operantur [1].

Ἡ βοτάνη τοῦ Ἡλίου <ἐστὶ> πολύγονον· ἔλαβε τὴν προσηγορίαν ἐκ τοῦ τὸν Ἥλιον πᾶσιν ἀρχηγέτην καὶ σπορέα γενέσθαι· αὐτήν τινες χαμαίλεον προσηγόρευσαν ἐκ τοῦ [f. 388] κατὰ οὐρανὸν καὶ γῆν τὰ

1 περί omis. ed. κα' ed. 2 ἐν τῷ supplevimus; cf. passim. κλίματι τὸ cod., κλίματος τοῦ ed. τῆς omis. ed. ἀπηλληώτῃ cod. 3 ἀνατέλει cod., ἀναβαίνει ed. 3-4 κατ' Αἰγυπτίους ἐν τῷ δι' Ἀλεξανδρείας ed. 4 τρίτου ed. τοῦ cod. ante κόσμου uncis inclusimus. 5 εἰς τὰ ἐμφανῆ cod., εἰς τὸν ἐμφανῆ κόσμον ed. ἐν ὥρᾳ μιᾷ ἰσημερινῇ τρίτῳ ἐννάτῳ. χρόνοις δὲ κα', λεπτοῖς μ' ed., ἐν ὥραις τριάκοντα τριῶν οθ' χρόνον δὲ κα' cod., corr. Cumont. 6 τὸ μεσουρανοῦν (ut vid.) κέντρον cod., τὸ μεσουράνουν ed. 7 θυληκόν cod. 8 οὐθενός ed. 9 ἐν τῶ κλίματι cod., κλίματος ed. 10 Βαβυλῶνος ed. ἀνέμῳ νότῳ ed. 11 κόσμου omis. ed., quae τοῦ κόσμου post ἐμφανές add. 12 ὥρᾳ μιᾷ μ' ed. κλίματι cod. Post κλίμα, τὸ δι' Ἀλεξανδρείας ed. 14 οὐθενός ed. bis. 14-15 μὲν ἡμέρας cod. 15 ἐν τῷ suppl. κλίματος τοῦ τῆς ed. 16 ἀνέμῳ Λιβί ed., λίβα cod. δέ omis. cod. χειρῶν καὶ δακτύλων ed. 17 κόσμου omis. ed., quae post ἐμφανές add. τοῦ κόσμου. ἐν ὥρα cod. α' νγ' κ'' ed. 18 δέ omis. cod. ταύτῃ δέ ed. 19 ἀήρ cod., ἔαρ ed.: perperam, nam infra secunda trias appellatur πῦρ, tertia γῆ, quarta ὕδωρ. 25 ἐστί suppl. 26 γενῆσθαι cod. 27 cod. χαμελαίαν quod corr. ἐν cod., scripsimus ἐκ. οὐρανοῦ cod.

[1] Idem excerptum invenitur in cod. Vindobon. phil. gr., 179, f. 31r. Cf. Pitra,

μῆλα λελογχέναι· πινόμενος γὰρ <ὁ> χυλὸς αὐτῆς ἑτοιμοτέρους πρὸς γόνον καὶ ἀφροδίσια ποιεῖ· περιαφθεῖσα ἡ ῥίζα πᾶσιν ὀφθαλμίας ἀπαλλάσσει, ἰᾶται δὲ φρενιτικούς, ληθαργικούς, ἀμβλυωποῦντας θαυμαστῶς περιαπτομένη καὶ τοὺς ἐν καταρχαῖς <πειραζομένους> τῶν ὑποχύσεων.

Ἡ βοτάνη τῆς Ἀφροδίτης ἐστὶν ὁ περιστερεών· ταύτης ἡ ῥίζα περιαφθεῖσα τὰ περὶ τὸν τράχηλον ἰᾶται πάθη, χοιράδας, παρωτίδας, βουβῶνας, ὁ δὲ χυλὸς αὐτῆς ἵστησιν αἱμορροΐδας μετὰ μέλιτος καὶ νίτρου προσκλυζομένης· πινόμενος ὁ χυλὸς μετὰ μέλιτος λεπτύνει τὰ ὑγρά· <αὕτη> ἡ βοτάνη ἁρμοδία γίνεται καὶ πρὸς ἀφροδίσια· ὁ <δὲ> χυλὸς παρέχεται καὶ τοῖς συνουσιάζουσιν· ἐν οἰκίᾳ ἡ ῥίζη παρακειμένη ἀπελαύνει πάντα φαῦλον δαίμονα.

Ἡ βοτάνη τοῦ Ἑρμοῦ ἐστὶ τὸ πενταδάκτυλον, οἱ δὲ πεντάφυλλον· ἰᾶται τὰ ἐν ἄρθροις γινόμενα πλήγματα καὶ τὰ πυρώδη, σπλῆνι <δὲ> καταπλασσομένη <τοὺς τῆς> κοιλίας στροφοὺς παύει <καὶ> τοὺς τῶν ὀδόντων πόνους διακλυζομένη· ἡ ῥίζα περιαφθεῖσα τῷ στόματι εὐλόγους ποιεῖ καὶ ῥητορικοὺς ἐν τοῖς λόγοις· ὀνίνησι καὶ τοὺς λιθιῶντας καὶ δυσουριῶντας.

Ἡ βοτάνη τοῦ Ἄρεως λέγεται ἀρνόγλωσσον· ἰᾶται τὰ ἐν αἰδοίοις πάθη καὶ <τὰ> ῥυπαρὰ ἕλκη [ἰᾶται]· εὐθετεῖ <δὲ> καὶ δυ[f. 389]σεντερικοὺς καὶ αἱμορροΐδας καὶ τὰ πυρώδη καὶ τὰ φθαρτικά.

Ἡ βοτάνη τοῦ Διός ἐστιν ἀλχαράνιος· ταύτης ἡ ῥίζα ἰᾶται βου-

2-3 ἀπαλάσσει cod. 4 ταῖς ἐν καταρχαῖς cod., scripsimus καὶ τοὺς ἐν καταρχαῖς πειραζομένους collato Pitra, loc. infra, n. 1, cit., p. 283, l. 4. 5 ἡ περιστερεῶνα cod. 8 προσκλυζομένη cod. 9 αὕτη suppl. ἁρμόδιος cod. ἀφροδισία cod. δέ suppl. 12 Ἑρμῇ ἦν cod., scripsimus Ἑρμοῦ ἐστι. 13 ἔναρθρα cod., sed cf. Pitra, loc. cit., l. 16. 14 δέ et τοὺς τῆς suppl. 15 καί suppl. τάς cod., corr. 18 αἰδίοις cod. 19 ῥυπαρὰ ἕλκη ἰᾶται cod., fort expungendum alterum ἰᾶται. δέ suppl. 21 ἦν cod., scripsimus ἐστίν.

Anal. sacra, V², 282-283, qui diversam in idem argumentum scriptionem edidit. Codex Mediolan. 23, f. 250 (*Catal. Astrol.*, p. 15) fragmentum ex alio simili sed ampliore tractatu complectitur, cui praefigitur nomen Alexandri regis, ubi multa sunt quae cum cod. Neapol. consentiunt. Exempli gratia ea afferemus quae de herba solis dicuntur :

Δευτέρα βοτάνη Ἡλίου πολύγονος. αὕτη εἴληφε τὴν προσωνυμίαν ἐξ οὗ τὸ<ν Ἥλιον> πᾶσιν [cod. πάσης] ἀρχηγὸν <εἶναι> νενόμισται· ταύτην δέ τινες χαμαιλέοντα προσηγόρευσαν, ὅ ἐστι οἶκος Ἡλίου. αὕτη πινομένη [cod. τινομένη] θεραπεύει τὰ περὶ τὸ στῆθος καὶ στομαχικὰ πάθη, καθάπερ καὶ τὸ ζῴδιον τὰ μέρη λέλαχεν. ἐνεργεῖ δὲ καὶ συμπαθῶς ἡ βοτάνη διὰ τὸ ὄνομα [an διὰ τοῦ ὀνόματος?]· πινόμενος δὲ ὁ χυλὸς αὐτῆς ἑτοιμοτέρους πρὸς γονὴν καὶ ἀφροδίσια καθίστησι, περιαφθεῖσα δὲ ἡ ῥίζα ὀφθαλμιῶντας [cod. ὀφθαλμῶντας] ἀπαλλάσσει, εἰ δέ τις πρὸ τοῦ πάσχειν περιαφθείη, οὐκ ἐᾷ ἐπὶ τὸ σύνολον ὀφθαλμιᾶσαι. ἁρμόζει δὲ καὶ τοῖς φρενιτικοῖς καὶ ληθαργικοῖς περιαπτομένη, καθότι τὸν περὶ καρδίας τόπον ὁ Ἥλιος ἔλαχε<ν>· εὔπνοιαν <δὲ> παρέχει καὶ τοῖς πνευμονιῶσιν ὡς ἐπὶ τῶν γενέσεων· ἐπὶ δὲ πρώτους ἐν ἡμῖν φρενιτικοὺς καὶ ληθαργικοὺς ... νομίζων δὲ † ἀφένα καθίστησι· ποιεῖ δὲ καὶ πρὸς ῥοὴν γυναικεῖον προποτιζομένη τῷ χυλῷ.

βῶνας, ποδαλγικούς, ἡπατικοὺς μετὰ κρόκου καὶ μέλιτος πινομένη· περιαπτομένη <δὲ> καὶ τοῖς συνουσιάζουσιν ἁρμόζει [περιαπτομένη] καὶ τὰς γυναῖκας ἐπιχαρεῖς ποιεῖ πρὸς ἀφροδίσια.

Ἡ βοτάνη τοῦ Κρόνου ἐστὶν ἀσφόδελος <ἢ> ἡράκλεια· ταύτης ὁ χυλὸς μετὰ στύρακος πόνους ἰᾶται γονάτων καὶ ποδῶν, τῆς ῥίζης δὲ ὁ χυλὸς ἑψηθεὶς ὠφελεῖ πόνους νεφρῶν καὶ φόβους ἰᾶται δαιμονιζομένων· περιαπτομένη <δὲ> καὶ τοῖς ὀδοντιῶσι παιδίοις εὐθετεῖ.

Ἡ βοτάνη τῆς Σελήνης ἐστὶν ὁ κυνόσβατος· καθαίρει δὲ ὁ χυλὸς τὰ τοῦ θώρακος δριμέα καὶ στομάχου καὶ πλευρῶν, εὔθετος δὲ καὶ πρὸς ὀξυδορκίαν καὶ ἀμβλυωπίαν ἰᾶται καὶ εὐθετεῖ στόμαχον κεκακωμένον, ἰᾶται δὲ <καὶ> στρόφους καὶ ἕδρας πυρακτωμένας.

[D. B. et Æ. M.]

F.389. Ἡλιοδώρου[1] ἐπίσκεψις τῶν πλανητῶν, πῶς κυριεύουσι τὰς ζ′ ἡμέρας τῆς ἑβδομάδος καὶ τὰς ιβ′ ὥρας.

Ἰστέον ὅτι τῇ α′ ἡμέρᾳ ὁ Ἥλιος πολεύει· ἔχει οἶκον τὸν Λέοντα, καὶ ὁ Κριὸς ὕψωμα αὐτοῦ τοῦ Ἡλίου.

Τῇ β′ ἡ Σελήνη· ἔχει οἶκον τὸν Καρκίνον, καὶ ὁ Ταῦρος ὕψωμα αὐτῆς.

Τῇ γ′ ὁ Ἄρης· ἔχει οἶκον τὸν Κριὸν καὶ τὸν Σκορπίον, καὶ ἡ Παρθένος ὕψωμα αὐτοῦ.

Τῇ δ′ ὁ Ἑρμῆς· ἔχει οἶκον τοὺς Διδύμους καὶ τὴν Παρθένον, καὶ ὁ Αἰγόκερως ὕψωμα αὐτοῦ [τοῦ Ἑρμοῦ].

[F. 389v] Τῇ ε′ ὁ Ζεύς· ἔχει οἶκον τοὺς Ἰχθύας καὶ τὸν Τοξότην, καὶ ὕψωμα αὐτοῦ <ὁ> Καρκίνος.

Τῇ ς′ ἡ Ἀφροδίτη· ἔχει οἶκον τὸν Ταῦρον καὶ τὸν Ζυγόν, καὶ ὕψωμα αὐτῆς <οἱ> Ἰχθύες.

Τῷ σαββάτῳ ὁ Κρόνος· ἔχει οἶκον τὸν Αἰγοκέρωτα καὶ Ὑδροχόον, καὶ ὕψωμα αὐτοῦ ὁ Ζυγός.

Τῇ α′ ἡμέρᾳ κυριεύει ὁ Ἥλιος· ὥρᾳ α′ [ὁ] Ἥλιος, β′ Ἀφροδίτη, γ′ Ἑρμῆς, δ′ Σελήνη, ε′ Κρόνος, ς′ Ζεύς, ζ′ Ἄρης, η′ Ἥλιος πάλιν.

Τῇ β′ κυριεύει ἡ Σελήνη· ὥρᾳ α′ Σελήνη, β′ Κρόνος, γ′ Ζεύς, δ′ Ἄρης, ε′ Ἥλιος, ς′ Ἀφροδίτη, ζ′ Ἑρμῆς, η′ Σελήνη.

2 δέ suppl. περιαπτομένη καὶ ταῖς γυναιξίν cod., uncis inclusimus περιαπτομένη, scripsimus τὰς γυναῖκας. 3 ἀφροδισίαν cod. 4 ἢ suppl. 5 στήρακος cod. 7 δέ suppl. ὀδουτιοῦσι cod. 8 σκηνόβατος cod.; Pitra, loc. cit., l. 5, κυνόβατος. 9 δρυμαῖα et στομάχων cod. 10 ἀβλυωπίαν cod. 10-11 κεκακομένον cod. 11 καί suppl. πυρακτομένους cod. 22 αὐτοῦ τοῦ Ἑρμοῦ cod., uncis inclusimus τοῦ Ἑρμοῦ. 24 ὁ suppl. 26 οἱ suppl. 29 ὁ Ἥλιος cod., uncis inclusimus ὁ.

[1] De Heliodoro astronomo, qui circa a. 500 p. C. n. Alexandriae florebat, cf. *Catal. Venet.*, p. 81, n. 1 et infra excerptum ex eodem cod. Neap. f. 430r. [F. C.]

Τῇ γ' κυριεύει ὁ Ἄρης· ὥρᾳ α' [ὁ] Ἄρης, β' [ὁ] Ἥλιος, γ' Ἀφροδίτη, δ' Ἑρμῆς, ε' Σελήνη, ϛ' Κρόνος, ζ' Ζεύς, η' Ἄρης.

Τῇ δ' κυριεύει ὁ Ἑρμῆς· ὥρᾳ α' Ἑρμῆς, β' Σελήνη, γ' Κρόνος, δ' Ζεύς, ε' Ἄρης, ϛ' Ἥλιος, ζ' Ἀφροδίτη, η' Ἑρμῆς.

Τῇ ε' κυριεύει ὁ Ζεύς· ὥρᾳ α' Ζεύς, β' Ἄρης, γ' Ἥλιος, δ' Ἀφροδίτη, ε' Ἑρμῆς, ϛ' Σελήνη, ζ' Κρόνος, η' Ζεύς.

Τῇ ϛ' κυριεύει ἡ Ἀφροδίτη· ὥρᾳ α' Ἀφροδίτη, β' Ἑρμῆς, γ' Σελήνη, δ' Κρόνος, ε' Ζεύς, ϛ' Ἄρης, ζ' Ἥλιος, η' Ἀφροδίτη.

Τῷ σαββάτῳ κυριεύει <ὁ> Κρόνος· ὥρᾳ α' Κρόνος, β' Ζεύς, γ' Ἄρης, δ' Ἥλιος, ε' Ἀφροδίτη, ϛ' Ἑρμῆς, ζ' Σελήνη, η' Κρόνος.

Οὕτως οὖν πάλιν ἀνακύκλιε καὶ λέγε τὴν η' <τοῦ> Κρόνου, τὴν θ' τοῦ Διός, τὴν ι' τοῦ Ἄρεως, τὴν ια' τοῦ Ἡλίου, τὴν δὲ ιβ' τῆς Ἀφροδίτης· ὁμοίως καὶ τοὺς ἄλλους ἀνελλιπῶς οὕτως ἀρίθμει. ὁμοίως καὶ εἰς τὰς τῶν ἡμερῶν νύκτας οὕτως εὑρήσεις.

Περὶ τῆς νυκτός.

Νὺξ α'· κυριεύει ὁ Κρόνος· ὥρᾳ α' Κρόνος, β' Ζεύς, γ' Ἄρης, δ' Ἥλιος, ε' Ἀφροδίτη, ϛ' Ἑρμῆς, ζ' Σελήνη, η' Κρόνος.

[F. 390] Νὺξ β'· κυριεύει ἡ Ἀφροδίτη· ὥρᾳ α' Ἀφροδίτη, β' Ἑρμῆς, γ' Σελήνη, δ' Κρόνος, ε' Ζεύς, ϛ' Ἄρης, ζ' Ἥλιος, η' Ἀφροδίτη.

Νὺξ γ'· κυριεύει ὁ Ζεύς· ὥρᾳ α' Ζεύς, β' Ἄρης, γ' Ἥλιος, δ' Ἀφροδίτη, ε' Ἑρμῆς, ϛ' Σελήνη, ζ' Κρόνος, η' Ζεύς.

Νὺξ δ'· κυριεύει ὁ Ἥλιος· ὥρᾳ α' [ὁ] Ἥλιος, β' Ἀφροδίτη, γ' Ἑρμῆς, δ' Σελήνη, ε' Κρόνος, ϛ' Ζεύς, ζ' Ἄρης, η' Ἥλιος.

Νὺξ ε'· κυριεύει <ἡ> Σελήνη· ὥρᾳ α' Σελήνη, β' Κρόνος, γ' Ζεύς, δ' Ἄρης, ε' Ἥλιος, ϛ' Ἀφροδίτη, ζ' Ἑρμῆς, η' Σελήνη.

Νὺξ ϛ'· κυριεύει <ὁ> Ἄρης· ὥρᾳ α' Ἄρης, β' Ἥλιος, γ' Ἀφροδίτη, δ' Ἑρμῆς, ε' Σελήνη, ϛ' Κρόνος, ζ' Ζεύς, η' Ἄρης.

Νὺξ σαββάτου· κυριεύει ὁ Ἑρμῆς· ὥρᾳ α' Ἑρμῆς, β' Σελήνη, γ' Κρόνος, δ' Ζεύς, ε' Ἄρης, ϛ' Ἥλιος, ζ' Ἀφροδίτη, η' Ἑρμῆς.

Οὕτως οὖν ἀνακύκλιε, ὡς ἄνωθεν λέγεται, ἵνα εὑρήσεις τὸν πολεύοντα καὶ διέποντα· ἔστι δὲ ὁ πολεύων καὶ ὁ διέπων καὶ ὁ ὑψῶν τὰς ὥρας καὶ κυριεύων ὁ κύριος τῆς ἡμέρας ἐν ἐκείνῃ τῇ ἡμέρᾳ καὶ ὁ κύριος τῆς νυκτὸς ἐν ἐκείνῃ τῇ νυκτί· ἐκ τούτου οὖν σκόπει ἀκριβῶς ποίαν ὥραν τῆς ἡμέρας ἢ τῆς νυκτὸς πολεύει καὶ κυριεύει ὁ ἀγαθοποιὸς ἀστὴρ καὶ ἐν ποίᾳ ὁ κακοποιός, καὶ ἐκ τούτου διακρινεῖς τὴν ὥραν. τοίνυν λαμβάνονται ἐν ταῖς ὥραις ἀγαθοποιοὶ ἀστέρες Ζεύς, Ἀφροδίτη

1 ὁ Ἄρης et ὁ Ἥλιος cod., uncis inclusimus art. Ita et infra, l. 22. 7 τῇ ε' iterum cod. pro τῇ ϛ', quod reposuimus. 9 ὁ suppl. 11 τοῦ suppl. 13 ἀνελειπῶς cod. 16 Νύξ α' ὥρα κυριακῆς cod., expunximus ὥρα et pro κυριακῆς dedimus κυριεύει ὁ. 24 ἡ suppl. 26 ὁ suppl. 28 ἐξημέρομ<αν> κυρ, ut vid., cod., scripsimus κυριεύει ὁ dubitanter.

καὶ [ἡ] Σελήνη· κακοποιοὶ δὲ Κρόνος καὶ Ἄρης· ἐπίκοινοι δὲ Ἥλιος καὶ Ἑρμῆς διὰ τὸ κοινὸν τῆς φύσεως, καὶ μετὰ ἀγαθῶν ἀγαθοποιοί, μετὰ δὲ κακοποιῶν <κακοποιοὶ> καθεστήκασιν.

[D. B. et Æ. M.]

F. 390v. Περὶ τῶν ἐνεργειῶν τῶν πλανητῶν ἐν ταῖς ὥραις κυριευόντων.

Ὥρᾳ Ἡλίου οἱ θέλοντες κρυφόν <τι> ποιῆσαι, οὐ συμφέρει· φανερωθήσεται γάρ. κοινωνίαν ποίει, ξενίαν πάρεχε, ὅρμα ὅπου δ' ἂν θέλῃς κατὰ γῆν καὶ θάλασσαν, οἰκοδομῆς ἄρχου, θεμέλια τίθε, ἵππους ἀγόραζε, παιδία εἰς μάθησιν δίδου· κλοπιμαῖόν τι ὁ ποιήσας εὑρεθήσεται.

Ὥρᾳ Σελήνης ὅσοι μεθοδεύονται νικήσουσι, καὶ πραγματείαν ὁ βουλόμενος ποιῆσαι ἐπὶ κέρδος ἕξει. οἰκοδομῆς ἄρχου, θεμέλια τίθε, τὰ πάντα καλὰ λίαν, βόας δὲ πρώτιστον μὴ ζεύξῃς· τὸ γεννηθὲν ποικίλαις ἀφορμαῖς τρωθήσεται.

Ὥρᾳ Ἄρεως οὐδὲν καλὸν ποιήσεις· πρὸς πάντα γάρ ἐστιν ἄθετος, <εὔθετος δὲ> πρὸς ἐπιβουλάς δαιμόνων. εἰς μάχην μὴ ἀπέλθῃς καὶ πληγὰς καὶ τραυματίας <μὴ> ὑπομείνῃς· τὸ γεννηθὲν δυσχερῶς ἀνατραφήσεται, κακότροπος, μέθυσος, φονεύς, οὐλὴν ἔχων εἰς τὸ πρόσωπον, πάγχυ κακός· εἰ δὲ θῆλυ, ἐπὶ βλάβην γονέων τεχθήσεται· οἱ εἰς κριτήριον οὐ συμφρονήσουσιν ἀλλήλοις, ἀλλὰ μάχην ποιήσουσιν· ὁ ποιήσας διαθήκην οὐκ ἐπιτεύξεται.

Ὥρᾳ Ἑρμοῦ <ὁ> πρὸς πάντα μεθοδεύων τι <οὐκ> ἡττηθήσεται· περὶ κόπου ὁ βουλόμενος οὐκ ἐπιτεύξεται· πραγματείαν πρὸς κέρδος ποίησον· μὴ ἀποδιώξῃς, μετοίκει καὶ μετέρχου, ἀποδημίαν ποίησον, παιδία εἰς μάθησιν δίδου, παντὸς πράγματος [f. 391] ἄρχου· τὸ γεννηθὲν μετὰ πολὺν κόπον ἀνατραφήσεται· χάριτας ὁ αἰτήσας οὐκ ἐπιτεύξεται.

Ὥρα Διὸς <ἀγαθὴ> πρὸς πάντα μεθοδεύοντι μετὰ καλῆς πίστεως· βουλόμενος συναλλαγὴν ποίησον, κοινωνίαν πάρεχε, ἀποδημίαν ποίει, πορείαν ἐμπορεύου κατὰ γῆν καὶ θάλασσαν, μάχης δὲ ἀπέχου, μετ' ἀδικούντων μηδὲν πράξῃς τὸ σύνολον· τὸ γεννηθὲν ζώσιμον ἔσται. ἐν ταύτῃ τῇ ὥρᾳ, ἐὰν φιλονεικοῦσί τινες, εἰς κριτήριον ἀπελθόντες ἐκ συμφωνίας κριθήσονται· διαθήκην ὁ ποιήσας οὐκ ἐπ' αὐτῇ τελευτήσει.

1 ἡ uncis inclusimus. 3 κακοποιοί suppl. 5 In marg. atramento rubro librarius adnotavit: εἰ ἀληθῆ ταῦτα οὐκ οἶδα. 7 τι suppl. Cf. infra, l. 10. 9 κατὰ γῆς καὶ θαλάσσης cod. et ita inferius. 10 διδόναι cod. et ita inferius, nos δίδου. 11 νικήσωσιν et πραγματίαν (sic et infra) cod. 12 ποιήσει cod. ἕξη cod. 13 προτίστους cod., πρώτιστον scripsimus. 14 ἀφορμίαις et τροθήσεται cod. 16 εὔθετος δέ suppl. 16-17 An μὴ ([vel ἵνα μὴ] pro καὶ) - ὑπομένῃς? 18 κακότροπον cod. 19 κακῶς cod. 20 Fortasse hic et p. seq. l. 6, post κριτήριον et κρίσιν addendum ἀπελθόντες : cf. ad l. 31. ποιήσωσιν cod. 22 ὁ et οὐκ suppl. μετορεύοντι cod., μετοδεύων τι scripsimus. 23 Num pro περὶ κόπου ἀπερικόπως legendum? 27 ἀγαθή suppl. 28 συναλαγεῖν cod., correximus. Cumont: fortasse ἀλλαγέω pro ἀλλάσσω dixit scriptor. 29 ἀπέρχου cod., ἀπέχου scripsimus. μετ' ἀδικούντι cod.

Ὥρα Ἀφροδίτης ἀγαθή, καὶ πρὸς ἀφροδισιασμὸν συμφέρει· φιλίαν καὶ κοινωνίαν ποίησον, παῖδας εἰς μάθησιν δίδου, ἱματίοις καινοῖς χρῶ, μετέρχου καὶ μετοίκει, ὁδοιπορείαν ποίει, ξενίαν πάρεχε, κέρδος ἀπροσδόκητον [προσαδησι ἥτι ἄν] ποιήσεις, χαρὰν ἕξεις, κριτήριον καὶ μάχην περίφευγε· δοῦλος ἐὰν ἀποδρᾷ εἰς θάλασσαν, οὐχ εὑρεθήσεται· τὸ κλοπιμαῖόν τι εὑρεθήσεται· οἱ εἰς κρίσιν ἐκ συμφωνίας κριθήσονται.

Ὥρᾳ Κρόνου οὐδὲν καλὸν ποιήσεις· ὅσον [εἰς] δύνασαι, κράτησον ἀπὸ παντὸς πράγματος· ταύτην τὴν ὥραν παρατηροῦ καὶ <τὴν> τοῦ Ἄρεως· οὗτοι γὰρ οἱ δύο ἀστέρες εἰσὶν ἐναντίοι καὶ τοὺς θανάτους ἐπάγοντες, μάλιστα ὅταν καὶ ἡ Σελήνη συμμαρτυρῇ αὐτοῖς· εἰς ἄδικον πρᾶγμα μὴ ἐπιβάλλου· ... ἀπέχου ταύτης· ὁ γεννηθεὶς εὐμαθής· κεφαλὴν μεγάλην ἔχει, <σῶμα> μικρότατον [f. 391v] καὶ πόδας πλατεῖς· διαθήκην ὁ ποιήσας οὐκ ἐπ' αὐτῇ τελευτήσει. [D. B. et Æ. M.]

F. 393. Περὶ τῶν τῆς Σελήνης παρατηρήσεων Πέρσου φιλοσόφου τοῦ<νο>μα Ζανατῆ.

Τῆς Σελήνης οὔσης ἐν [τῷ] Κριῷ καλόν ἐστιν ὁδεύειν· χαίρων γὰρ ἐπανέλθῃ· ἐπιτήδειός ἐστιν ἡ ἡμέρα τοῖς ὁδοιπόροις ἢ διοικεῖν τι <βουλομένοις> ἐπὶ ξένης· ὁ γήμας ἐν ταύτῃ βληθήσεται τῆς γυναικὸς οὔσης ἀκαταστάτου καὶ ἀστόργου· ἡ ἐκτρωθεῖσα μόλις σωθήσεται. τῇ δευτέρᾳ ἡμέρᾳ ἀγοράζειν καλόν· ὁ νοσήσας σωθῇ, πλὴν κεφαλαλγήσει· ὁ φυγὼν εὑρεθῇ· ἐπιτήδειος ἡ ἡμέρα εἰς τὸ φυτεύειν, σπείρειν, γῆν ἡμεροῦν· <τότε γὰρ ἀγρὸς> κάρπιμός ἐστιν· τὸ κλαπὲν εὑρεθήσεται· ὁ γεννηθεὶς ἐπί[f. 393v]ορκος ἔσται· εὔχρηστον παιδία διδόναι εἰς μάθησιν· καλὸν πλέειν, θεμέλια τιθέναι καὶ τὰ ἐν οἴκῳ.

Τῆς Σελήνης οὔσης ἐν Ταύρῳ καλὸν ὁδεύειν· ὁ <γὰρ> ἀποδημήσας ἐπαναστρέψει· καλὸν ἀγοράζειν, μείζοσιν ὁμιλεῖν, φίλους ποιεῖν, πάσης ἐργασίας ἀπέχεσθαι· τὰ γεννώμενα οὐκ εὐτυχοῦσιν· ὁ φυγὼν εὑρεθῇ, ὁμοίως καὶ τὸ κλαπέν· ὁ γήμας λυπηθῇ· γενήσεται γὰρ ἡ γυνὴ μοιχαλίς· ὁ νοσήσας μόλις σωθήσεται· ἡ ἐκτρωθεῖσα κινδυνεύσει· ἐν τούτῳ γὰρ τῷ ζῳδίῳ χαίρει ἡ Σελήνη, ὅτι ὕψωμα αὐτῆς ἐστιν.

2 διδόναι cod., nos δίδου. Tum ἱμάτια καινά cod., nos ἱματίοις καινοῖς. 3 μετοίκη cod. 4 quid lateat in verbis προσαδησι ἥτι ἄν, non divinamus. ποριέσεις εἴτι ἄν coni. Kroll. ἕξης cod. 8 εἰς fort. expungendum. An leg. εἰς ὅσον? 9 τήν suppl. 11 An μάλιστα δέ? συνμαρτυρεῖ cod. 12 πράγμα et ἐπιβάλου cod. Mox ante ἀπέχου lacunam indicavimus. Num ἀλλ' ἀπέχου τούτου? 13 σῶμα dubitanter supplevimus. πλατούς cod., scripsimus πλατεῖς. 16 τοῦ Μαζουνατῆ cod., cf. supra, p. 118, n. 1. 17 In marg. ad signum zodiaci apponitur ἀγαθόν. Art. fort. hic et al. expungendus. 18 ἐπανέλθοι cod. ἐπιτείδιος cod. et sic infra. 19 βουλομένοις suppl. ξένοις cod. et sic iterum inferius. Num pro βληθήσεται leg. βλαβήσεται? 22 φητεύειν cod. 23 τότε γὰρ ἀγρός dubitanter suppl. 30 θεμελίους, ut vid., cod. 31 In marg. ad signum apponitur μέσον. γάρ suppl. 32 μείζωσιν cod. 33 γινόμενα cod. et sic passim; scripsimus γεννώμενα. 34 εὑρεθεῖ cod. λυπηθεῖ cod. 35 ἐκτρωθῆσα cod.

Τῆς Σελήνης οὔσης ἐν Διδύμοις ὁ ἀποδημήσας ἐπὶ πολὺ ξενιτεύσει καὶ μόλις ἀναλύσει· τὸ δὲ ἀπὸ ξένης εἰς τὰ οἰκεῖα παραγίνεσθαι ἀγαθόν, μὴ οὖν πωλεῖν ἢ ἀγοράζειν ἢ δανείζειν· ὁ γήμας χαρήσεται, ὁ δὲ γεννηθεὶς ἢ σπαρεὶς ἄσχημος ἔσται, δυσανάτροφος, γονεῖς οὐκ ὠφελήσας· ἡ δὲ γυνὴ ἄτυχος ἔσται, καὶ τῶν γονέων καὶ ἀνδρῶν χωρισθῇ. ἐν τῇ δευτέρᾳ ἡμέρᾳ ὁ ἀνὴρ δυσνόητος, πλούσιος, ἡ δὲ γυνὴ ἐπίχαρις, διανοητική. ὁ νοσήσας ἐν τῇ πρώτῃ ἡμέρᾳ μόλις σωθήσεται, ἐν δὲ τῇ δευτέρᾳ ταχέως· ἡ ἐκτιτρώσκουσα κινδυνεύσει· ὁ φυγὼν βραδέως εὑρεθήσεται, τὸ κλαπὲν ταχέως· ὁ δεθεὶς πολὺν χρόνον κρατηθήσεται.

Τῆς Σελήνης οὔσης ἐν Καρκίνῳ ὅδευε· ἐπανήξεις γὰρ εὖ πράξας· εἰ δὲ χρονίσεις, χαίρων ὑποστρέψει· ὁ γήμας αἰσχυν[f. 394]θήσεται ὑπὸ τῆς συζύγου· ὁ νοσήσας ταχέως ἰαθήσεται· ὁ γεννηθεὶς ἔσται εὐμαθής, εὐδαίμων, ἔμπειρος εἰς τέχνην καὶ πλούσιος· ὁ φυγὼν εὑρεθήσεται· ἡ ἐκτιτρώσκουσα οὐ κινδυνεύσει.

Τῆς Σελήνης οὔσης ἐν Λέοντι τῇ πρώτῃ ἡμέρᾳ μὴ ὅδευε μακρὰν ἀποδημίαν· πολλὰ γὰρ ἀτοπήματα ὑπομενεῖς· ὁμοίως καὶ τῇ δευτέρᾳ, πλὴν κρεῖττόν ἐστι τῆς πρώτης. οὐ χρὴ δὲ γῆμαι, διότι ἡ γυνὴ ὑπερήφανος ἔσται καὶ θυμώδης καὶ ἀπειθὴς τῷ ἀνδρί· ἡ ἐκτρωθεῖσα κινδυνεύσει· ὁ φυγὼν οὐχ εὑρεθῇ· ἀγαθὴ δὲ ἄρξασθαι σπείρειν σῖτον καὶ τὰ τοιαῦτα· ὁ δεθεὶς παρὰ χρόνον κρατηθῇ· εἰ γεννηθῇ ἀνήρ, πλούσιος, ἰσχυρός, ὠμός· εἰ δὲ θυγάτηρ, εὐκατάφορος εἰς πορνείαν.

Τῆς Σελήνης οὔσης ἐν [τῇ] Παρθένῳ ὁ ἀποδημήσας ἐπὶ πολὺ ξενιτεύσει, πλὴν σῶος ἐπανέλθῃ· οὐ συμφέρει γῆμαι παρθένον, πλὴν δὲ χήραν κρειττότερον· ἡ ἐκτρωθεῖσα κινδυνεύσει· ὁ φυγὼν τῇ πρώτῃ ἡμέρᾳ κρυβήσεται, ἐν δὲ τῇ δευτέρᾳ εὑρεθήσεται· καλὸν σπείρειν πάντοῖα εἴδη· συμφέρει δὲ οὐ φυτεύειν· ὁ δεθεὶς ταχέως λυθήσεται· τὸ κλαπὲν εὑρεθήσεται. τῇ πρώτῃ ἡμέρᾳ οἱ γεννηθέντες φιλομαθεῖς, πανοῦργοι, πλούσιοι· <ἡ> δὲ γυνὴ ἀσθενήσει πολλά. τῇ δευτέρᾳ ἡμέρᾳ οἱ γεννηθέντες μέθυσοι, μαλακοί, ῥᾴθυμοι, λοίδωροι, ἐρωτικοί, πραγματευταί· ἡ δὲ γυνὴ λοίδωρος, μοιχαλίς, φίλανδρος, ἐρωτική, διαλελυμένη.

[F. 394ᵛ] Τῆς Σελήνης οὔσης ἐν [τῷ] Ζυγῷ, εἰ μὲν πρὸς ἀγαθὰ ἢ

1 Ad signum in marg. apponitur ἀγαθόν. 1-2 ξενιτεύση et mox ἀναλύση cod. 2 οἰκία cod. 3 δανίζειν cod. 3-4 χαρίσεται cod., corr. Kroll. 4 ἄσχημος cod. ut ἄτυχος seq. l., quae sunt formae vulgares, retinuimus. 11 Ad signum in marg. apponitur μέσον. 12 χρονήσεις cod. 14 εὐμαθείς cod. 16 Ad signum in marg. apponitur πονηρόν. 18 ἐστίν cod. 19 θυμώδεις et ἀπειθείς cod. 20 Pro ἀγαθή fort. ἀγαθόν leg. 21 παρά] An πολὺν? Cf. l. 9. κρατιθεῖ et mox γεννηθεῖ cod. 23 Ad signum in marg. apponitur ἀγαθόν. 24 παρθένος cod. 25 χήρα cod. 28 τὰ γεννηθέντα φιλομαθῆ cod., scripsimus οἱ γεννηθέντες φιλομαθεῖς. 29 γυνὴ δέ cod., scripsimus ἡ δὲ γυνή. 30 τὰ γεννηθέντα cod., οἱ γεννηθέντες scripsimus. 32 In marg. ad signum apponitur μέσον. Item in marg. sup. haec adnotantur : σημείωσαι Ἡνίκα πληρώσεται ἡ Σελήνη ἐν Ζυγῷ α' υ" <num β'?> ἡμέρᾳ πρόσεχε τοῦ μὴ ἄρξασθαί τι, ἕως οὐ πληρώσεται ἐν Σκορπίῳ ἡμέρᾳ α' καὶ γ'.

δικαια ἀπέρχει, οὐδὲν μέγα πράξεις· εἰ δὲ εἰς ἐγκλήματα καὶ ἀδικίαν, ἐπιτεύξει. ὁ γήμας <βλαβήσεται>· ἡ <γὰρ> γυνὴ ταχέως πορνεύσει· ὁ νοσήσας μεγάλως νοσεῖ· ἡ ἐκτιτρώσκουσα κινδυνεύσει· ὁ φυγὼν ἐπανέλθῃ· ὁ δεθεὶς ταχέως λυθήσεται· καλὸν σπείρειν, φυτεύειν, κλαδεύειν· τὸ κλαπὲν εὑρεθῇ· τῇ πρώτῃ ἡμέρᾳ ὁ γεννηθεὶς φρόνιμος ἔσται, πλὴν φιλόπορνος <καὶ> ὁδοιπορικός· ἡ δὲ γυνὴ συνετή, εὐκατάστατος, φιλόστοργος. τῇ δευτέρᾳ ἡμέρᾳ τὰ γεννηθέντα ὀλιγοχρόνια.

Τῆς Σελήνης οὔσης ἐν [τῷ] Σκορπίῳ ὅδευε εὖ πράξας καὶ κερδήσας ἐπανέλθῃς. τῇ πρώτῃ ἡμέρᾳ γῆμαι καλόν, τῇ δευτέρᾳ ἡ γυνὴ μοιχευθῇ· τῇ πρώτῃ ἡμέρᾳ ὁ νοσήσας ἰαθήσεται, ὁ φυγὼν εὑρεθήσεται, ὁ δεθεὶς ταχέως λυθήσεται, ὁ γεννηθεὶς πολύλυπος ἔσται, ἡ δὲ γυνὴ χαλεπή, ἐπίορκος, καὶ ὁ μὲν υἱὸς εὐτράπελος, σταθερός, ἡ δὲ γυνὴ σώφρων <καὶ> εὐτυχής.

Τῆς Σελήνης οὔσης ἐν [τῷ] Τοξότῃ ὁ ἀποδημήσας βραδέως ἐπανέλθῃ, ὁ δὲ ἐπαναστρέφων ταχέως παραγίνεται ἐν εὐφροσύνῃ· καλὸν γῆμαι· ἡ γὰρ γυνὴ ἔσται πιστή, φιλόστοργος εἰς τὸν ἄνδρα· ὁ νοσήσας ταχέως ἰαθήσεται· ὁ φυγὼν οὐχ εὑρεθήσεται· ἀσύμφορος δὲ πρὸς τὸ σπείρειν· ὁ δεθεὶς ταχέως λυθήσεται· τὸ κλαπὲν οὐκ εὑρεθήσεται. τὰ γεννώμενα τῇ δευτέρᾳ ἡμέρᾳ ἔσονται εὐτυχῆ, πολυχρόνια, δεινά, [f. 395] ὀξύτατα, πλὴν ὀργίλα.

Τῆς Σελήνης οὔσης ἐν Αἰγόκερῳ τῷ ἀποδημοῦντι περίλυπος ἔσται καὶ σκυθρωπὴ ἡ ἀποδημία, τῷ δὲ ἐπανερχομένῳ ῥᾳδία καὶ ἐπιτήδειος ἡ ὁδός, ῥᾴδιον δὲ τοῖς βουλομένοις πλεῖν καὶ τοῖς ἐμπορευομένοις, ἀσύμφορος δὲ εἰς τὰ πρῶτα συνοικέσια, εἰς δὲ τὰ δεύτερα συμφέρει γαμεῖν· ἔσται γὰρ ὁ γήμας ἀτάραχος καὶ φιλόστοργος ἡ γυνή· ὁ νοσήσας ταχέως ἀναστῇ· τὸ κλαπὲν εὑρεθήσεται. τῇ πρώτῃ <ἡμέρᾳ> ὁ μετοικίζων εὐπορήσει καὶ εὐτυχήσει τὰ μετατιθέμενα· ὁ γεννηθεὶς εὐτυχὴς καὶ θαυμαστός· ἐν δὲ τῇ δευτέρᾳ [ἡμέρᾳ] ἄχρηστος καὶ ὀλιγοχρόνιος.

Τῆς Σελήνης οὔσης ἐν Ὑδροχόῳ ἡ μὲν πρώτη ἡμέρα ἀσύμφορος τοῖς ὁδοιποροῦσιν, ἡ δὲ δευτέρα εὔπρακτος καὶ ἐπικερδής· δεῖ δὲ ὠνεῖσθαι δούλους· ὁ γήμας καλῶς ἕξει· ἡ γυνὴ γὰρ φιλόστοργος ἔσται· ὁ φυγὼν εὑρεθήσεται. ἐν τῇ πρώτῃ ἡμέρᾳ ἡ ἐκτιτρώσκουσα κινδυνεύσει· καλὸν γεωργεῖν καὶ φυτεύειν. τὰ γεννώμενα τῇ δευτέρᾳ ἡμέρᾳ εὔτυχα, ὁ δὲ γεννηθεὶς ἀσελγής· ἔσται καὶ φιλογύναιος πρὸς ἀφροδίσια.

2 βλαβήσεται et γάρ suppl. 3-4 ἐπανέλθοι cod. 6 καί suppl. ὁδοιπορητικός cod. 8 In marg. ad signum apponitur πονηρὸν στερεόν. 12 σώφρονος cod. 13 εὐτυχῆ cod. 14 In marg. ad signum apponitur μέσον. 16 ἄνδραν cod., forma vulg. 17 An ἀσύμφορον hic et infra, l. 24? 18 σπέρειν cod. 21 In marg. ad signum apponitur πονηρόν. 23-24 ἐμπορδιομένοις cod., coniecimus ἐμπορευομένοις. 27 ἡμέρᾳ suppl. εὐπορίσει et εὐτυχεῖ cod. 28 δευτέρα ἡμέρα cod., uncis inclusimus ἡμέρᾳ. 30 In marg. ad signum apponitur ἀγαθὸν στερεόν. 32 καλῶς cod., correctum ex καλός. 35 ἀσελγεῖς cod. 36 ἀφροδύσια cod.

Τῆς Σελήνης οὔσης ἐν Ἰχθύσιν καλὸν ὁδεύειν, καὶ μᾶλλον ἐπὶ στρατιὰν καὶ πόλεμον, καὶ πλέειν καὶ εἰς ἐμπορίαν ἀπέρχεσθαι· τῷ γήμαντι ἀγαθόν· ἔσται γὰρ ἡ γυνὴ πιστή, φιλόστοργος, εὐπειθής· ὁ νοσῶν οὐ κινδυνεύσει· ὁ φυγὼν κινδυνεύσας [f. 395v] ἐπιστρέψει· καλὸν φυτεύειν, οἰκοδομεῖν, σπείρειν, μετρεῖν· τὸ κλαπὲν εὑρεθήσεται· καλὸν ἐξέρχεσθαι εἰς κυνηγέσια· τὸ γεννώμενον παράβουλον ἔσται, τρόφιμον, εὐτυχέστερον. [D. B. et Æ. M.]

F. 396. Ἑτέρα ἐπίσκεψις τῆς Σελήνης καὶ περὶ τῶν σχηματισμῶν αὐτῆς καὶ τῶν ὀνομασιῶν[1].

Τῇ α′ ἡμέρᾳ γέννα· αὕτη εἰς πάντα τὰ ἐγχειρούμενα καλή ἐστι· πραγματεύεσθαι, πλέειν, ὁδοιπορεῖν, παῖδας εἰς μάθησιν διδόναι, μισθὸν λαμβάνειν, θεμέλια τιθέναι, οἴκους οἰκοδομεῖν, σπείρειν, θερίζειν· τὸ γεννώμενον πολυχρόνιον, τὸ ἀπολλύμενον εὑρεθήσεται.

Τῇ β′ ἡμέρᾳ φωσφόρος· αὕτη ἀσύμφορος εἰς πάντα, πλὴν ὁ νοσήσας ταχέως ὑγιαίνει· ὁ γεννηθεὶς <οὐ> τρόφιμος, ἡ γυνὴ διαλελυμένη· οὐ δεῖ γῆμαι, ἀγοράζειν, λαμβάνειν καὶ κοινωνεῖν· τὸ κλαπὲν <οὐχ> εὑρεθήσεται.

Τῇ γ′ ἡμέρᾳ ἀνατέλλει· αὕτη ἐπὶ πάντα τὰ πράγματα εὔθετος· τὰ γεννώμενα τρόφιμα, ὁ ἀσθενήσας <οὐ> κινδυνεύσει, πλὴν οὐ συμφέρει γαμῆσαι· τὸ κλαπὲν εὑρεθήσεται καὶ ὁ κλὼψ κινδυνεύσει.

Τῇ δ′ ἡμέρᾳ αὔξει· αὕτη καλή, καὶ ὁ ποιήσας τι οὐ ζημιωθήσεται· δεῖ κοινωνεῖν, γαμεῖν, ἀγοράζειν, πωλεῖν, πλὴν τῶν καθηκόντων πραγμάτων ἐπιμελεῖσθαι καὶ γυναῖκα εἰς οἶκον φέρειν.

Τῇ ε′ ἡμέρᾳ ὑψοῦται· αὕτη παρατηρήσιμος καὶ μηδὲν <δεῖ> ἐγχειρεῖν τὸ καθόλου· ὁ ἐπιορκήσας μεγάλως κινδυνεύσει, τὸ κλαπὲν οὐχ εὑρεθήσεται, ὁ νοσῶν κινδυνεύσει, τὰ [f. 396v] γεννώμενα <οὐ> τρόφιμα, ὁ γήμας <οὐ> χαρήσεται.

Τῇ ϛ′ ἡμέρᾳ ἐπαίρεται· αὕτη καλὴ τοῖς ἁλιεύουσι καὶ κυνηγοῦσιν· <ἀγαθὸν> πλέειν, ὁδοιπορεῖν, σπείρειν, φυτεύειν, ὠνεῖσθαι· τὸ ἀπολλύ-

1 In marg. ad signum apponitur ἀγαθόν. 2 Num leg. στρατείαν pro στρατιάν? 3 γήματι cod. εὐπιθής cod. 5 μετράν cod. 7 τρόφημον cod. 10 Ἡ cod., Τῇ scripsimus. 13 γενόμενον cod., γεννώμενον scripsimus. ἀπολλούμενον cod. et ita fere ubique; ἀπολλύμενον scripsimus. 14-16 φωσφόρως. αὕτη ὁ γεννηθεὶς τρόφιμος, ἡ γυνὴ διαλελυμένη· οὐ δεῖ γῆμαι· ἀσύμφορος γὰρ εἰς πάντα, πλὴν ὁ νοσήσας ταχέως ὑγιαίνει· δεῖ δὲ ἀγοράζειν etc., quae in alium ordinem digessimus. 15 οὐ suppl. Ita et aliis locis. 19 γινόμενα cod., γεννώμενα scripsimus et sic infra. 22 κατοικούντων cod., καθηκόντων scripsimus. Num scribendum πλὴν γυναῖκα εἰς οἶκον φέρειν καὶ τῶν καθηκόντων πραγμάτων ἐπιμελεῖσθαι? 24 δεῖ suppl. 28 κυνηγέσιν cod., κυνηγοῦσιν scripsimus. 29 ἀγαθόν suppl. Sic etiam p. seq. l. 9.

[1] Cf. Selenodromion, *Catal. Mediol.*, p. 32 sqq.

μενον οὐχ εὑρεθήσεται, ὁ γήμας παραλυθήσεται, † γονικὰ μὴ παράλυσις, τὰ γεννώμενα τρόφιμα, πλὴν δὲ κακότροπα.

Τῇ ζ′ <ἡμέρᾳ> διχοτομεῖται· αὕτη καλὴ εἰς πᾶσαν πρᾶξιν... παῖδας εἰς μάθησιν διδόναι ... εὐθετοῦσι ... τὰ γεννηθέντα εὐτυχῆ, τὸ ἀπολλύμενον οὐχ εὑρεθήσεται, ὁ φυγὼν εὑρεθήσεται.

Τῇ η′ ἡμέρᾳ γαυριᾷ· αὕτη τοῖς ὁδοιποροῦσιν ἀνεπιτήδειος καὶ τοῖς πλέουσι, καλὴ δὲ τῷ γήμαντι· τὸ γεννηθὲν καλόνουν καὶ εὐμαθές.

Τῇ θ′ ἡμέρᾳ περιδρᾷ προσφεύγειν· αὕτη καλὴ τοῖς ἐμπορευομένοις· <ἀγαθὸν> ὠνεῖν, πωλεῖν, φυτεύειν, οἰκοδομεῖν, γήμασθαι, δανείζειν, αἰτεῖν, φίλους μείζονας κτᾶσθαι· τὸ ἀπολλύμενον οὐχ εὑρεθήσεται.

Τῇ ι′ ἡμέρᾳ ἀμφικυρτοῦται· αὕτη καλὴ εἰς πᾶν, καλὴ δὲ καὶ τοῖς ὁδοιποροῦσι· παῖδας εἰς μάθημα διδόναι, οἰκίας ὠνεῖν, σπείρειν, φυτεύειν.

Τῇ ια′ ἡμέρᾳ κυρτοῦται· αὕτη καλὴ εἰς πᾶσαν πρᾶξιν καὶ πρὸς τὰ ἐγχειριζόμενα πάντα· γαμεῖν, ὠνεῖν, σπείρειν, φυτεύειν, τρυγᾶν, μετρεῖν, οἰκοδομεῖν· ὁ γεννηθεὶς ἀγαθόνους <καὶ> θυμώδης.

[F.397] Τῇ ιβ′ ἡμέρᾳ ἐγκυκλεῖται· αὕτη καλὴ τοῖς πραγματευταῖς, τοῖς πλέουσιν, τοῖς γήμασι, τοῖς φυτεύουσι, τοῖς κτίζουσι, τοῖς σίτον ἀποτιθοῦσι.

Τῇ ιγ′ ἡμέρᾳ συνάπτει· αὕτη τοῖς θέλουσι μάχεσθαι ἐπικίνδυνος· τὰ γεννηθέντα ἐρωτικὰ <καὶ> λοίδωρα· ὁ ὠνῶν καὶ <ὁ> πιπράσκων κερδήσει.

Τῇ ιδ′ ἡμέρᾳ πανσέληνος· αὕτη καλὴ εἰς ὃ δ′ ἂν ἐγχειρήσεις· δεῖ δὲ γαμεῖν, κοινωνεῖν, ἀποδημεῖν, δανείζειν, δανείζεσθαι· τὰ γεννώμενα τρόφιμα, ἔνδοξα, φρόνιμα, φιλητά, φιλόστοργα· τὰ ἀπολλύμενα οὐχ εὑρεθήσονται.

Τῇ ιε′ ἡμέρᾳ ἐπέστραπται· αὕτη παρατηρήσιμος· ὁ ἐπιορκήσας βλαβήσεται, ὁ κόπτων ξύλα κινδυνεύσει· θεμέλιον οἴκου μὴ θήσῃς· τὰ γεννηθέντα πάνυ ἀκριβῆ καὶ ἀμετάδοτα· μὴ <δεῖ> πωλεῖν μηδὲ ἀγοράζειν· μετάμελον <γὰρ> ἔσται.

Τῇ ις′ ἡμέρᾳ ἐπαίρεται· αὕτη καλὴ παιδία εἰς μάθησιν διδόναι, φυτεύειν, οἰκοδομεῖν, ἀγοράζειν, πωλεῖν, ἐμπορεύεσθαι, γαμεῖν, κοινωνεῖν, καὶ ἁπλῶς εἰς πᾶν πρᾶγμα εὔτυχός ἐστιν.

Τῇ ιζ′ ἡμέρᾳ ἐπαναφέρεται· αὕτη καλὴ εἰς πᾶσαν πρᾶξιν, πλὴν τὸ γεννώμενον ἀπαίδευτον, ἐρωτικόν, ζωτικόν.

1-2 γονικὰ μὴ παράλυσις verba corrupta quomodo sananda sint, non videmus. 3 ἡμέρᾳ suppl. πράξιν cod., et sic etiam infra. Ante et post παῖδας εἰς μάθησιν διδόναι, tum etiam post εὐθετοῦσι lacunam indicavimus. 7 cod. εὐμαθεῖ, quod correximus. 13 οἰκείας cod. 17 καί suppl. Sic etiam inferius, l. 22. 22 ὁ suppl. 24 An εἰς ὅπερ ἐγχειρήσεις? Cf. p. seq., l. 5. 25 δανίζειν (ut supra) et δανίζεσθαι cod. 26 τρόφημα cod. 27 Num scribendum εὑρεθήσεται? 28 ἐπιορκίσας cod. 30 ἀκριβά cod. δεῖ suppl. 31 γάρ suppl. 36 ἀπέδευτον cod.

Τῇ ιη' ἡμέρᾳ ἀσύνθετος· αὕτη καλὴ εἰς πᾶσαν πρᾶξιν ἁρμόζει· ἀγοράζειν, πωλεῖν, συναλλάσσειν, γαμεῖν, σπείρειν, θερίζειν, φυτεύειν, τρυγᾶν, ἀποδημεῖν· τὰ γεννώμενα τρόφιμα· ὁ φυγὼν οὐχ εὑρεθήσεται.

[F. 397v] Τῇ ιθ' ἡμέρᾳ ἄχρηστος· ἐν ταύτῃ ὅπερ ἐπιχειρήσεις, ταχέως τελειώσεις· παῖδας εἰς μάθησιν διδόναι, πιπράσκειν, ὠνεῖν, γαμεῖν, κοινωνεῖν· τὰ γεννώμενα εὐτράπελα <καὶ> ἐρωτικά.

Τῇ κ' ἡμέρᾳ μειοῦται· αὕτη καλὴ φυτεύειν, οἰκοδομεῖν, ἀγοράζειν, ὁδοιπορεῖν, ἐμπορεύεσθαι· τὸ ἀπολλύμενον οὐχ εὑρεθήσεται.

Τῇ κα' ἡμέρᾳ διχοτομεῖται· αὕτη παρατηρήσιμος μὴ οἰκοδομεῖν, μὴ κοινωνεῖν, μὴ γαμεῖν, μὴ πράττειν τι· οὐ <γὰρ> εὐτυχία ἔσται· ὁ φυγὼν οὐχ εὑρεθήσεται.

Τῇ κβ' ἡμέρᾳ λειψόφωτος διχοτόμος· ἐν ταύτῃ ὁ γεννηθεὶς πολυχρόνιος ἔσται <καὶ> ἐπίδοξος· ὅ<περ> ἐπιχειρήσεις, ταχέως τελειώσεις· ἐπιτήδειος <δὲ> εἰς τὸ ἐκδημεῖν καὶ συναλλάσσειν, στρατεύεσθαι, γαμεῖν, φυτεύειν, σπείρειν, θερίξειν· ὁ φυγὼν κρυβήσεται.

Τῇ κγ' ἡμέρᾳ μονάζει· αὕτη καλὴ πωλεῖν, ἀγοράζειν, τέχνας διδάσκεσθαι, γαμεῖν, κοινωνεῖν, ἐμπορεύεσθαι· τὰ γεννώμενα τρόφιμα, ἔντεχνα, ἐρωτικά.

Τῇ κδ' ἡμέρᾳ ἀφώτιστος· αὕτη ἐπιτήδειος τοῖς ἐπὶ στρατείαν πορευομένοις <καὶ> τοῖς ἐμπορευτικοῖς· τὰ γεννώμενα θηρώβρωτα· τὸ ἀπολλύμενον οὐχ εὑρεθήσεται.

Τῇ κε' ἡμέρᾳ φθονεῖ· αὕτη τοῖς ἐμπόροις ἀσύμφορος· τὸ ἀπολλύμενον κρυβήσεται, ὁ ὀμώσας κινδυνεύσει μεγάλως, ὁ ἀσθενήσας μακρονοσήσει ἢ ταχέως ἀποθάνῃ· τὸ γεννηθὲν [f. 398] παιδίον ἄλαλον ἢ κωφόν.

Τῇ κς' ἡμέρᾳ ἁρπάζει· αὕτη καλὴ τοῖς ὁδοιποροῦσι, τοῖς πλέουσι, <τοῖς βουλομένοις> γάμους ποιεῖν καὶ κοινωνεῖν καὶ φίλους ποιεῖν· ὁ φυγὼν εὑρεθήσεται, τὸ ἀπολλύμενον κρυβήσεται.

Τῇ κζ' ἡμέρᾳ ἀφεγγής· αὕτη καλὴ τοῖς ὠνουμένοις <καὶ πρὸς> παντοῖα ἔργα· γαμεῖν, κοινωνεῖν, φίλους <ποιεῖν>, προίκεια διδόναι, πωλεῖν, ἀγοράζειν, φυτεύειν, οἰκοδομεῖν· τὸ γεννώμενον παιδίον ἀκατάστατον· ὁ φυγὼν εὑρεθήσεται· ὁ νοσήσας ὑγιαίνει.

Τῇ κη' ἡμέρᾳ ἀσέληνος· αὕτη καλὴ πωλεῖν, ἀγοράζειν, σπείρειν, θερίζειν, παῖδας εἰς μάθησιν διδόναι· τὸ γεννώμενον εὐτυχὲς <καὶ> εὐδιάθετον.

5 ἐπιχειρίσεις ut infra, l. 14 cod. 7 καί suppl. 8 καλόν cod., correximus. 11 οὐκ ευτυχία corr. ead. m. οὐκ ἐντυχία cod., scripsimus οὐ γάρ. 13 αὕτη cod., ἐν ταύτῃ scripsimus. 14 καί suppl. Tum ὅ cod., scripsimus ὅπερ ut supra, l. 5. 15 δέ suppl. 16 γαμεῖν ὁ φυγὼν κρυβήσεται, φυτεύειν, σπείρειν, θερίζειν cod., quae in alium ordinem redegimus. 18 γήμην cod. τρόφημα cod. 20 στρατίαν cod. 21 καί suppl. 25 μακρονοσεῖ cod. 28 τοῖς βουλομένοις suppl. 30 καί πρός suppl. 31 ποιεῖν suppl.; cf. supra, l. 28. προικία cod. 32 γεννόμενον cod. 35 καί suppl.

Τῇ κθ' ἡμέρᾳ συνοδεύει· αὕτη καλὴ τοῖς ἐμπορευομένοις <καὶ πρὸς πᾶσαν πρᾶξιν>· ὠνεῖν, πωλεῖν, φυτεύειν, οἰκοδομεῖν, τῶν κατ' οἶκον ἐπιμελεῖσθαι· τὸ γεννηθὲν εὐτυχές· ὁ φυγὼν εὑρεθήσεται.

Τὸ ἥμισυ καὶ γ', ἥτις λέγεται λ' ἡμέρα, παρὰ τριῶν ὡρῶν κοινωνεῖ τῷ Ἡλίῳ, ἥτις λέγεται σύνοδος· καὶ αὕτη καλὴ σπείρειν, θερίζειν, ὁδεύειν, πωλεῖν, ἀγοράζειν, γάμους ποιεῖν· ὁ γεννηθεὶς εὐτυχής, ἡ δὲ γυνὴ πονηρά, θυμώδης, ἄστοργος τῷ ἀνδρί. [D. B. et Æ. M.]

F. 398. Περὶ ἀστέρων ποιούντων τάραξιν καὶ κίνδυνον εἰς τὸ ὑπουρανὸν ἢ ὄμβρους ἢ ἀνέμους ἢ πυρκαϊὰς ἢ σημεῖά τινα· εἰσὶ δὲ καὶ αὗται αἱ ἡμέραι παρατηρήσιμοι, Πέρσου φιλοσόφου τοῦ<νο>μα Ζανατῆ [1].

Μηνὶ ἰαννουαρίῳ εἰς τὴν δ' κυριεύει ἀστὴρ ὀνόματι Γαμπίνης [f. 398ᵛ], καὶ ποιεῖ τάραξιν ἡμέρας ε'· καὶ εἰς τὴν κ' ἕτερος ὄνομα Λάμπης, καὶ ποιεῖ <τάραξιν> ἡμέρας γ'· αἱ αὐταὶ ἐπικίνδυνοι λέγονται εἶναι.

Μηνὶ φεβρουαρίῳ εἰς τὴν θ' [ἡμέραν] κυριεύει ἀστὴρ ὄνομα Σάρης, καὶ ποιεῖ τάραξιν ἡμέρας δ'· φασὶν οὖν ὅτι ἡ ϯς' τὸ ♉ ἐστὶ ἐπικίνδυνος, ταῦτα δὲ ὄπισθεν ἢ ἔμπροσθεν κατὰ καιρὸν τελειοῦνται.

Μηνὶ μαρτίῳ εἰς τὴν θ' κυριεύει ἀστὴρ ὄνομα ΣαριτΖε <*sic*>, καὶ ποιεῖ τάραξιν ἡμέρας γ'· καὶ εἰς τὴν κε' ἕτερος ὄνομα Γαράρ, καὶ ποιεῖ τάραξιν ἡμέραν α'.

Μηνὶ ἀπριλίῳ εἰς τὴν ε' κυριεύει ἀστὴρ ὄνομα Σιμέλ, καὶ ποιεῖ τάραξιν ἡμέρας ε'· καὶ εἰς τὴν ιθ' ἕτερος ὄνομα Βεκλεύς, καὶ ποιεῖ τάραξιν ἡμέρας γ'.

Μηνὶ μαΐῳ εἰς τὴν α' κυριεύει ἀστὴρ ὄνομα Γάρφας, καὶ ποιεῖ τάραξιν ἡμέρας ζ'· καὶ εἰς τὴν ιβ' ἕτερος ὄνομα Τέμπελις, καὶ ποιεῖ τάραξιν ἡμέρας δ'.

Μηνὶ ἰουνίῳ εἰς τὴν η' κυριεύει ἀστὴρ ὄνομα Ἀ[ν]ολώστας, καὶ

1-2 καὶ πρὸς πᾶσαν πρᾶξιν suppl. 2-3 φυτεύειν - ἐπιμελεῖσθαι, quae cod. post εὑρεθήσεται exhibet, hic transtulimus. τὰ κατ' οἶκον cod., nos τῶν κατ' οἶκον. 3 εὐτυχῆ cod. 4 Verba corrupta, siglis notata sunt (ἥμισυ ἡμέρας). 8 ποιοῦντ<α> cod. 10 παρατηρήσιμαι cod., παρατηρήσιμοι scripsimus. 11 τοῦ ΜαΖουνατῆ cod., cf. supra, p. 118, n. 1. 12 Fort. ὄνομα pro ὀνόματι leg. 13 cod. ubique ἕτερον quod corr. 14 τάραξιν suppl. Num αὗται leg.? λέγουσιν cod., λέγονται scripsimus. 15 ἡμέραν cod. uncis inclusimus. 16 ὅτι ἡ ʺς το ♉ (?), in quibus quid lateat ignoramus. An ἡ ἑκκαιδεκάτη ἡμέρα? 17 Num leg. ταύτης δὲ τὰ ὄπισθεν etc.? 20 ἡμέρας cod. 25 Extr. syllaba in Τέμπελις per compendium scripta incerta est. 27 Secunda littera in voc. Ἀνολώστας incerta; charta enim corrosa est.

[1] Idem capitulum invenitur in cod. Mutinensi 12, f. 94ᵛ et in cod. Erlangensi 93, s. XV, f. 3. Cum persicis astrorum nominibus, quae hic inveniuntur, conferre licet tabulam anni 1346 in codice Angel. 29, f. 267, et in cod. Vindob. phil. gr. 15 [nostro 5], f. 138, servatam, ubi pariter nomina stellarum persica cum positionibus cuiusque praebentur. [F. C.]

ποιεῖ τάραξιν ἡμέρας γ'· καὶ εἰς κα' ἕτερος ὄνομα Γαπούς, καὶ ποιεῖ τάραξιν ἡμέραν α'.

Μηνὶ ἰουλίῳ εἰς τὴν ε' κυριεύει ἀστὴρ ὄνομα Παπλούς, καὶ ποιεῖ κίνδυνον ἡμέραν α'· καὶ εἰς τὴν ιθ' ἕτερος ὄνομα ..., καὶ ποιεῖ τάραξιν ἡμέραν α'.

Μηνὶ αὐγούστῳ εἰς τὴν α' κυριεύει ἀστὴρ ὄνομα Ράφας, καὶ ποιεῖ τάραξιν ἡμέραν α'· καὶ εἰς τὴν ιδ' ἕτερος ὄνομα Πιστεύς, καὶ ποιεῖ τάραξιν ἡμέρας β'· καὶ εἰς τὴν κζ' ἕτερος <ὄνομα...>, καὶ ποιεῖ τάραξιν ἡμέρας δ'.

Μηνὶ σεπτεμβρίῳ εἰς τὴν ζ' κυριεύει ἀστὴρ ὄνομα Ἀλφαράς, καὶ ποιεῖ τάραξιν ἡμέρας ζ'· καὶ εἰς τὴν κβ' ἕτερος <ὄνομα...>, καὶ ποιεῖ τάραξιν ἡμέρας γ'.

Μηνὶ ὀκτωβρίῳ εἰς τὴν ε' κυριεύει ἀστὴρ ὄνομα Γαρεύς, καὶ ποιεῖ τάραξιν ἡμέραν α'· καὶ εἰς τὴν ιζ' ἕτερος <ὄνομα...>, καὶ ποιεῖ τάραξιν ἡμέρας γ'.

[F. 399] Μηνὶ νοεμβρίῳ εἰς τὴν α' κυριεύει ἀστὴρ ὄνομα Ῥήκτας, καὶ ποιεῖ τάραξιν ἡμέραν α'· καὶ εἰς τὴν ιβ' ἕτερος <ὄνομα...>, καὶ ποιεῖ τάραξιν ἡμέρας ε'.

Μηνὶ δεκεμβρίῳ εἰς τὴν θ' κυριεύει ἀστὴρ ὄνομα Ἐώλας, καὶ ποιεῖ τάραξιν ἡμέρας δ'· καὶ εἰς τὴν ιζ' ἕτερος <ὄνομα...>, καὶ ποιεῖ τάραξιν ἡμέρας γ'. [D. B. et Æ. M.]

F. 400. Χρῆσμα τεχνωθὲν παρὰ τοῦ Οὐάλεντος[1].

<Τὸ> ὄργανον τοῦ θεοῦ ἐστιν ἡ φύσις, καὶ θεὸς ὅπου βούλεται νικᾶται φύσεως τάξις καὶ κατευοδοῦται καὶ ἁγιάζεται πάντα διὰ τοῦ παντοδυνάμου σταυροῦ· οἱ μὲν οὖν ἀρχαῖοι ἁπλᾶς μεθόδους <διδάσκουσι>· διδόασι γὰρ ἑκάστῳ ζῳδίῳ γράμματα β' ἀρχὴν ποιοῦντες ἀπὸ τοῦ Κριοῦ οὕτως·

α	β	γ	δ	ε	ζ	η	θ	ι	κ	λ	μ
♈	♉	♊	♋	♌	♍	♎	♏	♐	♑	♒	♓
ν	ξ	ο	π	ρ	σ	τ	υ	φ	χ	ψ	ω

Οὐάλης οὐ λαμβάνει ταῦτα [f. 400v] εἰς τὸ ἀποτελέσαι ἑκάστου ζῳδίου ὁμάδα, ἀλλὰ λαμβάνει τὰ ἑξάγωνα, τὰ τετράγωνα, τὰ τρίγωνα, τὰ διάμετρα <καὶ οὕτως> λέγει· τῷ Κριῷ ἐδόθησαν στοιχεῖα ἁπλᾶ τὸ α' καὶ

3 ἰουλλίῳ cod. 4 Post ὄνομα lacunam indicavimus. 8 ὄνομα suppl. et lacunam indicavimus. Sic etiam inferius passim. 23 Τὸ supplevimus. 24 τάξεις cod. ἁγιάζονται cod. 25 εἰ cod., scripsimus οἱ. 25-26 διδάσκουσι suppl. 26 δίδοσι cod. 31 Οὐάλλης cod. et sic inferius. 33 καὶ οὕτως suppl., ubi exstat lacuna quinque vel sex litterarum in cod.; tum marg. adnotatur λείπεταί τι quae verba fortassis ad hanc lacunam spectant.

[1] Computatio astrologica Vetti Valentis ex libris adhuc ineditis excerpta ab astrologo quodam saec. XII, ut videtur (cf. notulam ad calcem). — De binis litteris unicuique zodiaci signo attributis vide nunc Boll, *Sphaera*, p. 469 ss. [F. C.]

τὸ ν'· τὸ μὲν οὖν α' παντελῶς ἀφίησιν Οὐάλης, τὸ δὲ ν' ἀφίησι καὶ αὐτό, λαμβάνει δὲ τὸ τούτου ἑξάγωνον τὸ ο', ὁμοίως καὶ τὸ τετράγωνον τὸ π' καὶ τὸ τρίγωνον τὸ ρ' καὶ τὸ διάμετρον τὸ τ', καὶ γίνεται ἡ ὁμὰς τοῦ Κριοῦ φν'. ὡσαύτως καὶ ἐπὶ τοῦ Ταύρου· ἁπλᾶ στοιχεῖα τοῦ Ταύρου β' καὶ ξ'· τὸ μὲν οὖν β' παντελῶς ἀφίησι, τὸ δὲ ξ' ἀφίησι καὶ αὐτό· λαμβάνει τὸ ἑξάγωνον <τοῦ> ξ' π', τὸ τετράγωνον ρ', τὸ τρίγωνον σ', τὸ διάμετρον υ', καὶ γίνεται ἡ ὁμὰς τοῦ Ταύρου ψπ'. τῶν Διδύμων στοιχεῖα [τὸ] γ' καὶ ο', τὸ ἑξάγωνον τοῦ ο' ρ', τὸ τετράγωνον σ', τὸ τρίγωνον τ', τὸ διάμετρον φ', καὶ γίνεται ἡ ὁμὰς Διδύμων ,αρ'. τοῦ Καρκίνου στοιχεῖα δ' καὶ π'· τὸ ἑξάγωνον τοῦ π' σ', τὸ τετράγωνον τ', τὸ τρίγωνον υ', τὸ διάμετρον χ', καὶ γίνεται ἡ ὁμὰς Καρκίνου ,αφ'. <τοῦ> Λέοντος στοιχεῖα ε' καὶ ρ'· τὸ ἑξάγωνον τοῦ ρ' [τὸ] τ', τὸ τετράγωνον υ', τὸ τρίγωνον φ', τὸ διάμετρον ψ', καὶ γίνεται <ἡ> ὁμὰς τοῦ Λέοντος ,αϡ'. <τῆς> Παρθένου στοιχεῖα τὸ ζ' καὶ σ'· τὸ ἑξάγωνον τοῦ σ' υ', τὸ τετράγωνον φ', τὸ τρίγωνον χ', τὸ διάμετρον ω', καὶ γίνεται ἡ ὁμὰς Παρθένου ,βτ'. <τοῦ> Ζυγοῦ στοιχεῖα [τὸ] η' καὶ τ'· τὸ ἑξάγωνον τοῦ τ' φ', τὸ τετράγωνον χ', τὸ τρίγωνον ψ', τὸ διάμετρον ν'· οὐκέτι γάρ εἰσι κατὰ στοιχεῖα <τῶν> ἄλλων ζῳδίων, καὶ λοιπὸν ἄρχεται ἀπὸ τοῦ Κριοῦ καὶ λαμβάνει τὸ ν', διάμετρον ὂν τοῦ τ', καὶ γίνεται <ἡ> ὁμὰς ,αων'. <τοῦ> Σκορπίου στοιχεῖα θ' καὶ υ'· τὸ ἑξάγωνον τοῦ υ' χ', τὸ τετράγωνον ψ', τὸ τρίγωνον ω', τὸ διάμετρον ξ', καὶ γίνεται <ἡ> ὁμὰς Σκορπίου ,βρξ'. <τοῦ> Τοξότου στοιχεῖα ι' καὶ φ'· τὸ ἑξάγωνον τοῦ φ' ψ', τὸ τετράγωνον [τὸ] ω', τὸ τρίγωνον ν', τὸ διάμετρον ο', καὶ γίνεται <ἡ> ὁμὰς Τοξότου ,αχκ'. [f. 401] <τοῦ> Αἰγοκέρωτος στοιχεῖα κ' καὶ χ'· τὸ ἑξάγωνον τοῦ χ' ω', τὸ τετράγωνον ν', τὸ τρίγωνον ξ', τὸ διάμετρον π', καὶ γίνεται <ἡ> ὁμὰς Αἰγοκέρωτος ,ϡϛ'. <τοῦ> Ὑδροχόου στοιχεῖα λ' καὶ ψ'· τὸ ἑξάγωνον τοῦ ψ' ν', τὸ τετράγωνον ξ', τὸ τρίγωνον ο', τὸ διάμετρον ρ', καὶ γίνεται <ἡ> ὁμὰς Ὑδροχόου σπ'. <τῶν> Ἰχθύων στοιχεῖα μ' καὶ ω'· τὸ ἑξάγωνον τοῦ μ' ξ', τὸ τετράγωνον ο', τὸ τρίγωνον π', τὸ διάμετρον σ', καὶ γίνεται <ἡ> ὁμὰς Ἰχθύων υι'. καὶ αὗται μὲν αἱ τῶν ζῳδίων ὁμάδες.

Αἱ δὲ τῶν ἑξαγώνων ὁμάδες συνάγονται ἀπὸ <τοῦ> οἴκου, ἀπὸ τοῦ ὑψώματος καὶ ἀπὸ τοῦ ἐναντιώματος· οἷον οἶκος Κρόνου Αἰγόκερως καὶ Ὑδροχόος· στοιχεῖα Αἰγοκέρωτως κ' καὶ χ', Ὑδροχόου στοιχεῖα λ' καὶ ψ'· ὕψωμα Κρόνου Ζυγός· τούτου στοιχεῖα η' καὶ τ'· ἐναντίωμα Κρόνου Λέων· τούτου στοιχεῖα ε' καὶ ρ'. λαμβάνωμεν οὖν ἀπὸ μὲν τοῦ οἴκου τοῦ Αἰγοκέρωτος τὸ κ', ἀπὸ τοῦ ὑψώματος αὐτοῦ τοῦ Ζυγοῦ τὸ τ', ἀπὸ δὲ τοῦ ἐναντιώματος αὐτοῦ τοῦ Λέοντος τὸ ρ', καὶ γίνεται <ἡ> ὁμὰς Κρόνου υκ'. πάλιν οἶκος Ἄρεως Κριὸς καὶ Σκορπίος, ὕψωμα Αἰγόκερως, ἐναντίωμα Ταῦρος· λάμβανε ἀπὸ τοῦ οἴκου αὐτοῦ τοῦ Σκορπίου θ', ἀπὸ τοῦ ὑψώματος [τὸ] κ', ἀπὸ τοῦ ἐναντιώματος ξ', καὶ γίνεται <ἡ> ὁμὰς Ἄρεως πθ'. οἶκος Διὸς Τοξότης καὶ Ἰχθύες, ὕψωμα

6 Art. suppl. et ita passim. 7 τοῦ Διδύμου cod. et sic infra. 8 τό uncis inclusimus, ut passim. 15 ,ατ' cod., ,βτ' scripsimus. 21 ,αρξ' cod.

Καρκίνος, ἐναντίωμα Παρθένος· λάμβανε ἀπὸ Ἰχθύων τὸ μ', ἀπὸ ἐναντιώματος τὸ ζ' καὶ ἀπὸ τοῦ ὑψώματος τὸ π', καὶ γίνεται <ἡ> ὁμὰς Διὸς ρκζ'. οἶκος Ἡλίου Λέων, ὕψωμα Κριός, ἐναντίωμα Ὑδροχόος· [καὶ] λάμβανε ἀπὸ τοῦ Κριοῦ τὸ ν', ἀπὸ ἐναντιώματος Ὑδροχόου τὸ λ' καὶ ἀπὸ τοῦ Λέοντος τὸ ρ', καὶ γίνεται <ἡ> ὁμὰς Ἡλίου ρπ'. οἶκος Ἀφροδίτης Ταῦρος καὶ Ζυγός, ὕψωμα Ἰχθύες, ἐναντίωμα Σκορπίος. λάμβανε ἀπὸ Ταύρου τὸ β', ἀπὸ Ἰχθύων τὸ μ', ἀπὸ Σκορπίου τὸ θ', καὶ γίνεται <ἡ> ὁμὰς Ἀφροδίτης να'. οἶκος Ἑρμοῦ Δίδυμοι καὶ Παρθένος, ὕψωμα Παρθένος, ἐναντίωμα Ἰχθύες· [f. 401ᵛ] λάμβανε ἀπὸ Παρθένου ζ', ἀπὸ Διδύμων γ', ἀπὸ Ἰχθύων μ', καὶ γίνεται <ἡ> ὁμὰς Ἑρμοῦ ν'. οἶκος Σελήνης Καρκίνος, ὕψωμα Ταῦρος, ἐναντίωμα Αἰγόκερως· λάμβανε ἀπὸ Καρκίνου δ', ἀπὸ Ταύρου β', ἀπὸ Αἰγοκέρωτος κ', καὶ γίνεται <ἡ> ὁμὰς Σελήνης κς'.

Αὗταί εἰσιν καὶ αἱ τῶν ἀστέρων ὁμάδες, καὶ ὀφείλει ποιῆσαι διάθεμα, καὶ εἰ μὲν ἐπὶ τῶν ε' ἀφελετικῶν τόπων εὑρεθῶσι καὶ ε' ἀστέρες ἀνεπισφαλῶς, συντεθῶσι καὶ εὐχερέστερον τὰ ἐξερχόμενα στοιχεῖα· εἰ δὲ μή, δυσχερὴς ἔσται ἡ σύνθεσις. τίθε δὲ τὴν πρότασιν τῆς ἐρωτήσεως οὕτως· ἐρωτᾷ ὁ δεῖνα τόδε καὶ τόδε, ἢ ἐρωτῶ ἐγὼ ὁ δεῖνα τόδε· λάμβανε τοίνυν τὸ πρῶτον γράμμα τῆς ἐρωτήσεως καὶ πολλαπλασίαζε τοῦτο ἐπὶ τῇ ἐποχῇ τοῦ ἐκείνου ἀστέρος ἐπὶ τοῦ ὡροσκόπου καὶ τὴν ἀναβιβασθεῖσαν <ποσότητα> ἀπὸ τοῦ πολλαπλασιασμοῦ ἀριθμοῦ μίγνυε καὶ τὴν ὁμάδα τοῦ ἀστέρος καὶ τὴν ὁμάδα τοῦ πολεύοντος, καὶ τὴν ἀναβιβασθεῖσαν ποσότητα ἔκβαλε ἐπὶ τῇ ὁμάδι τοῦ τόπου, ἐφ' ὅσον ἐγχωρεῖ, καὶ τὰ καταλειφθέντα ἔλαττον τῆς ὁμάδος τοῦ τόπου ἔκβαλε ἐπὶ τῶν κδ' καὶ τὰ καταλειφθέντα ἕλε ἐπὶ τῶν κδ' ἢ καὶ κδ' ἴσως ἐστὶ τὸ γράμμα τῆς ἀποκρίσεως· γίνεσθαι δὲ ἐπὶ τὸ ὑπόδειγμα ἀπὸ τῆς σῆς ἐρωτήσεως· μᾶλλον δὲ ... διαθέματα. ἐπεὶ οὖν ἐν τῷ ὡροσκόπῳ οὐχ εὑρέθη ἀστήρ, ἐν δὲ τῷ μεσουρανήματί ἐστιν ὁ Ἥλιος, λάμβανε δὲ καὶ τὴν ἀποχὴν τὰς ζ' μοίρας καὶ τὰ κε' λεπτά, καὶ πολλαπλασίαζε ἐπὶ τούτοις τὸ α' γράμμα τῆς ἐρωτήσεως ἤτοι τὸ ε'· ἡ γὰρ πρόθεσις τῆς ἐρωτήσεως οὕτως ἔχει ὡς εἴπομεν. ἢ ἐρωτᾷ ὁ δεῖνα ἢ ἐρωτῶ ἐγώ· [f. 402] λάμβανε τὸ ε' καὶ πολλαπλασίαζε τοῦτο ἐπὶ τῇ ἐποχῇ τοῦ Ἡλίου ἤτοι τῇ ζ' μοίρᾳ καὶ λεπτοῖς κε'· πεντάκις ζ' λε', καὶ πάλιν πεντάκις κ' ρ', καὶ πεντάκις ε' κε'· ὁμοῦ ρκε'. ταῦτα ἐπὶ τῶν ξ' οὕτως· β' ξ' ρκ'· πρόσθες τὰ β' εἰς τὰ λε', γίνονται λζ'· μίγνυε καὶ τὴν ὁμάδα τοῦ ἀστέρος, ἥτις ἐστὶ τοῦ Ἡλίου, πρόσθες δὲ καὶ τὴν ὁμάδα τοῦ πολεύοντος καὶ

4 καὶ uncis inclusimus. 15 ἀφέληται cod., corr. Kroll. 17 δυσχερῶς cod., δυσχερὴς scripsimus. 18 ὁ δεῖνας (ut infra, l. 31) et mox ὁ δδεινος (ut vid.) cod. 21 ποσότητα suppl. coll. v. 23. 25 τῶν κδ' ἢ καὶ κδ' non capio, cf. p. 149, l. 4 (Cumont). 25 ἕλε vix sanum. 27 Post μᾶλλον δέ lacuna sex vel septem litterarum in cod. 28 Pro ἀστήρ in cod. signum, quod ἀστέρες indicat. 28-29 Num λάμβανε δὴ καὶ τῇ ἀποχῇ? vel potius τὴν ἐποχήν? cf. l. 20. 29 πολλαπλασιάζεις cod. et sic infra; πολλαπλασίαζε scripsimus. 30 πρόθεσης cod. 35 μιγνύεις cod.

τὴν ἀναβιβασθεῖσαν ποσότητα ἔκβαλε ἐπὶ τῇ ὁμάδι τοῦ τόπου ἤτοι αὐτοῦ τοῦ εὑρεθέντος ζῳδίου τοῦ τόπου ἐφ' ὅσον ἐγχωρεῖ, καὶ τὰ καταλειφθέντα ἔλαττον τῆς ὁμάδος τοῦ τόπου ἔκβαλε ἐπὶ τῶν κδ', καὶ τὰ καταλειφθέντα ἔλαττον τῶν κδ' ἢ καὶ κδ' ἴσως ἐστὶ τὸ γράμμα τῆς ἀποκρίσεως. ὅμως δὲ πάλιν τιθεὶς τὸ δεύτερον γράμμα τῆς ἐρωτήσεως [καὶ] πολλαπλασίαζε αὐτὸ ἐπ' αὐτῇ τῇ μοίρᾳ τῶν λεπτῶν τοῦ εὑρεθέντος τόπου ἤτοι αὐτοῦ τοῦ ζῳδίου· μίγνυε δὲ καὶ τὴν ὁμάδα τοῦ ζῳδίου, οἷον .ἄν ἐστι ζῴδιον, καὶ τὴν ὁμάδα τοῦ διέποντος καὶ τὴν ἀναβιβασθεῖσαν ποσότητα ἔκβαλε ἐπὶ τῇ ὁμάδι τοῦ εὑρεθέντος ἀστέρος, καὶ τὰ καταλειφθέντα ἔλαττον τῆς ὁμάδος τοῦ ἀστέρος ἔκβαλε ἐπὶ τῶν κδ', καί ἐστι τὸ δεύτερον γράμμα τῆς ἀποκρίσεως.

Ἰστέον ὅτι, ὅταν ἐκπέσῃ τὸ γράμμα τῆς ἀποκρίσεως εἰς τρίγωνον Ἡλίου, οἷον ♈ ♌ ♐, ὀφείλει λαμβάνειν κατὰ τρίγωνον· ὅταν δὲ ἐκπέσῃ εἰς τρίγωνον Ἀφροδίτης, οἷον ♉ ♍ ♑, ὀφείλει λαμβάνειν κατ' ἑξάγωνον· ὅταν <δὲ> ἐκπέσῃ εἰς τρίγωνον Ἄρεως, οἷον ♋ ♏ ♓, ὀφείλει λαμβάνειν κατὰ τετράγωνον· ὅταν δὲ ἐκπέσῃ εἰς τρίγωνον Κρόνου, οἷον ♊ ♎ ♒, ὀφείλει λαμβάνειν κατὰ διάμετρον· ὅταν δὲ ἐκπέσῃ τὸ γράμμα τῆς ἀποκρίσεως εἰς τοὺς Διδύμους οὐκ ὀφείλει λαμβάνειν κατὰ διάμετρον, ἀλλὰ κατὰ ἑξάγωνον, ὡς τοῦτο παρέδωκεν ὁ τεχνικός.

[F. 402v] Ἄλλως πῶς ὀφείλει ποιεῖν τὸ διάθεμα ἠκριβωμένον ὡς ἐπὶ παραδείγματος· εἰσήγαγες τῇ εὑρεθείσῃ ἀναφορᾷ τοῦ ὡροσκόπου εἰς τὸν κανόνα τοῦ κλίματος· ἦν δὲ ἡ ἀναφορὰ τοῦ ὡροσκόπου να' νβ', καὶ εἰσενεγκὼν ταῦτα εἰς τὸν κανόνα τοῦ κλίματος οὐκ εὗρον ἴσον αὐτῷ ἀριθμόν, καὶ ἔλαβον τὰ ἐλάττονα, ὥς ἐστιν να' λα'· εὑρέθη ἡ ὑπεροχὴ τούτου πρὸς τὸν λειφθέντα ἀριθμόν, ὅστις ἐστὶν να' λεπτὰ λδ'. ἡ ὑπεροχὴ τῶν λεπτὰ κα'· ταῦτα ἔλυσα ἐπὶ τῶν ξ' καὶ ἐγένοντο ͵ασξ'· εἶτα πάλιν εἰσῆλθον εἰς τὸ κλίμα καὶ εὗρον τὴν διαφορὰν τοῦ ἐπάνω στοιχείου πρὸς τὸν κτ' εἰςτ να' λα' πρὸς τ'' νβ' κη', εἴ τις ἐστὶ λεπτὰ νζ'· ταῦτα ἐξήβαλα ἀπὸ τῶν ͵ασξ', εἰκοσάκις καὶ δίς, καὶ εἰσὶ λεπτὰ τοῦ ὡροσκόπου· οὕτως ὀφείλει ποιεῖν καὶ ἐπὶ τῶν ἄλλων τόπων τοῦ διαθέματος.

Sequuntur tabellae duae astrologicae, et in fine additur adnotatio quaedam trium linearum, quam edere supervacaneum esse putavimus. [D. B. et Æ. M.]

1 ἐκβάνεις cod., ἔκβαλε scripsimus, ut et infra. 5-6 ἐρωτήσεως καὶ πολλαπλασιάζεις cod., καί uncis inclusimus et πολλαπλασίαζε scripsimus. 7 μιγνύεις cod., μίγνυε scripsimus. 9 ἐκβα' cod. 10 ἐκβάνεις cod., ἔκβαλε scripsimus. 17 Post διάμετρον adicitur in cod. signum diametri o-:-o. 19 τεχνικός] Cumont : Nomen proprium latet? 20 ἠκριβομένον cod. 24 αὐτ' cod. ὅς cod., ὡς scripsimus. 27-28 Non intellegimus. 28 Marg. legitur haec notula : † ἐγένετο ἡ ἐρώτ<ησις> μην<ὶ> φε<β>ρ<ουαρίῳ> β' ἡμε<ρᾳ> ϛ' ἰνδ. ι' ͵ϛχο' [=1162] ὥρ<ᾳ> δ' ὕψωμα ἀνατολικὸν λδ'· ἐρώτ<η>σ<ε> ἰω<άννη>ς ὁ συναδινὸς εἰ μέλω. 29 ἐξήβαλα] forma vulgaris?

F. 412. Περὶ δραπετῶν Νικαέως Πρωταγόρου[1].

Ἐὰν εὑρεθῇ ὁ οἰκοδεσπότης τοῦ ὡροσκόπου τῆς φυγῆς ἀναποδίζων, ὁ φυγὼν αὐτομάτως ἐπανελεύσεται πρὸς τὸν δεσπότην· ἐὰν δὲ ἐν ἰδίῳ οἴκῳ εὑρεθῇ ἢ ὁρίοις καὶ μὴ ἀναποδίζων, ὁ ἀποδρὰς ἔνδον τῶν οἰκιῶν ἢ ἐν τῇ πόλει ἢ ἐν τῇ περιχώρῳ εὑρεθήσεται· καὶ θᾶττον ἐὰν ἐν τῷ ὑπεργείῳ ἡμισφαιρίῳ τύχῃ, ὥσπερ οὖν βραδύτερον εἰ ἐν τῷ ὑπὸ γῆν. τῆς Σελήνης οὔσης ἐν τῷ μεσουρανήματι, τοῦτ' ἔστιν ἐν τῷ δεξιῷ τετραγώνῳ τοῦ ὡροσκόπου, διὰ τῶν δεξιῶν μερῶν τῆς οἰκίας, ἀφ' ἧς ὁ δραπέτης ἤρξατο τῆς φυγῆς, τὴν πάροδον πεποίηται· ἐν δὲ τῷ εὐωνύμῳ τετραγώνῳ ὁμοίως διὰ τῶν ἀριστερῶν μερῶν· ὁ γὰρ ὡροσκόπος ἀντὶ τῶν πυλῶν τῆς οἰκίας νοεῖται. ἡ δὲ Σελήνη βορρᾶν κατερχομένη μηνύει τὸν φυγόντα κατὰ μεσημβρίαν πεπορεῦσθαι καὶ εὑρεθήσεσθαι ἐν ἡμέραις κε'· νότον δὲ ἡ Σελήνη κατιοῦσα, ἐν τοῖς κατὰ δύσιν τόποις ἐν ἡμέραις μβ' εὑρεθήσεσθαι, ἐν καθύγροις τόποις καὶ ἀνημέροις ἢ δυσχειμέροις· νότον δὲ ἀνιοῦσα, ἐν τοῖς ἀνατολικοῖς τόποις καὶ δυσκόλως μηνυθήσεσθαι ἐν ἡμέραις ξδ'· βορρᾶν δὲ ἀνερχομένη, ἐν τοῖς ἀρκτικοῖς τόποις καὶ δυσκόλως εὑρεθήσεσθαι μηνύει.

Ἐκ τῆς τῶν ζῳδίων δὲ φύσεως καταστοχαστέον τὸν τόπον εἰς [f. 412v] ὃν ἀπελεύσεται ὁ φυγών, οἷον εἰ μὲν Κριός, νομαίους καὶ πεδινούς· εἰ δὲ Ταῦρος, ἐπιπέδους καὶ πεπονημένους· εἰ δὲ Δίδυμοι...

3 ἐπανελεύσῃ N. πρὸς τὸν δεσπότην omis. P. 4 εὑρεθῇ omis. P. καί omis. P. 5 οἰκείων cod., nos οἰκιῶν. ἢ τῇ περιχώρῳ P, ἢ ἐν τῷ χωρίῳ N. ἐάν P, εἰ δέ N. 6 ὑπὲρ γῆν P, ὑπεργείῳ N. τύχει N. οὖν omis. N. εἰ P, ἢ N. 7 δεξιῷ P, δυτικῷ N. 8 Δ (ut vid.) μερῶν N. 9 δραπέτης P, δραπετῶν N. ἐὰν δέ P, ἐν δέ N. 10 διά P, δηλοῖ N. 11-12 ἡ δὲ ἡ Σελήνη β. κατερχομένη N, κατερχομένη δέ (sine ἡ Σελήνη) P. 12 πορεύεσθαι P. 13 εὑρεθήσεται (et sic infra, l. 17) N. κε' N, κ' P. 15 ἀνημέροις P, ἡμέροις N. 16 μηνυθήσεσθαι omis. N. 17 μηνύει omis. P. 18 καὶ ἐκ P. καταστοχαστέον P, καταστοχαζομένης N. 18-19 τοὺς τόπους... οὕς N, τὸν τόπον ... ὅν P. 19 Κριὸς μέν (sine εἰ) ac sic deinceps Ταῦρος δὲ κ. τ. λ. P, εἰ δὲ Κριός N. νομίαιους (καί omis.) P. 19-20 παιδινούς N. 20 σημαίνει add. P. Ταῦρος P, Λέων N. ἐπιπαίδους N. ♊ δὲ ♋ δὲ P, εἰ δὲ Δίδυμοι N. Lacunam signavimus et deinceps εἰ δὲ Καρκίνος scripsimus.

[1] Excerptum, cuius initium cum hoc fragmento Neapolitano conspirat, invenitur in cod. Veneto 6, f. 123, ροζ', eodem titulo. In Parisino autem 2506, saec. XIII, f. 36 praemittitur rubrica : Περὶ δραπετῶν ἔγραψεν ὁ Δωρόθεος ἐν τῷ ἄλλῳ βιβλίῳ· ὧδε λέγομεν τὰ τοῦ Νικαέως Πρωταγόρου. Nec dubium est, quin scriptor byzantinus, qui Syntagma Parisinum congessit, haec omnia ex ultimo capite (37) lib. III Hephaestionis adhuc inedito hauserit; cf. Kroll, ***Philologus***, LVII, 4; Engelbrecht, ***Hephästion von Theben***, p. 36. — Πρωταγόρου συναγωγαί una cum libris Hermetis et Petosiridis laudantur in fragmento edito ***Catal. Flor.***, p. 126, 6, et item excerptum ἐκ τῶν συναγωγῶν Πρωταγόρου traditur in cod. Vatic. 1056, saec. XIV, f. 79. Aetas scriptoris incerta est, nisi forte Protagoras hic Nicaeensis idem sit atque Πρωταγόρας ἀστρολόγος, in quem Euphorion (natus 276 a. C.) epicedion composuit teste Laertio Diogene, IX, 56 [F. C. qui cod. Paris. contulit].

εἰ δὲ Καρκίνος, ἐνύδρους καὶ χερσαίους καὶ ὑψηλούς· εἰ δὲ Λέων, προσάντεις καὶ τραχεῖς καὶ ἐρήμους· εἰ δὲ Παρθένος σιτοσπόρους· εἰ δὲ Ζυγός, πεδινούς· εἰ δὲ Σκορπίος, τραχεῖς καὶ ληστρικοὺς καὶ ὑπαμπέλους· εἰ δὲ Τοξότης, τραχεῖς τόπους καὶ ἀμπελῶνας· εἰ δὲ Αἰγόκερως, ὑδρηλὰ χωρία καὶ παραθαλάσσια· εἰ δὲ Ὑδροχόος, παραποταμίους καὶ ὑλώδεις <τόπους>, Ἰχθύες δὲ λιμνώδεις καὶ ἑλώδεις σημαίνουσιν.

Τινὲς δὲ καὶ τὰ κέντρα οὕτως ἐμέρισαν· οὕτως· τὸ μὲν δύνον τῷ φεύγοντι, τὸ <δὲ> μεσουράνημα τῷ δεσπότῃ, τὸν δὲ ὡροσκόπον τοῖς κατακλαπεῖσι, τὸ δὲ ἀντιμεσουράνημα τῷ ἀναπείσαντι. τινὲς δὲ πάλιν καὶ οὕτως ἀπονέμουσι· τὴν μὲν Σελήνην καὶ τὸν ὡροσκόπον τῷ φεύγοντι, τὸν δὲ Ἥλιον καὶ τὸ μεσουράνημα τῷ κυρίῳ· ἐπιμελέστερον δὲ χρὴ προσέχειν τῇ Σελήνῃ· ἐμφαίνει γὰρ πάντα. καὶ πρῶτον <μὲν> τὸ ὑπὲρ γῆν ἡμισφαίριον διοδεύουσα εὔκολον τὴν εὕρεσιν ποιεῖται, τὸ δὲ ὑπόγειον δύσκολον· καταληφθεῖσα δὲ ἐν τῷ ὡροσκόπῳ ἡ Σελήνη ἢ ἐν τῇ ἐπαναφορᾷ αὐτοῦ ἢ ἐν τῷ ιβʹ τόπῳ πρὸς ἀνατολὰς τὴν φυγὴν ἀποφαίνεται, ἐν δὲ τῷ μεσουρανήματι πρὸς ἄρκτον, ἐν δὲ τῷ δύνοντι πρὸς δύσιν, ἐν δὲ τῷ ὑπογείῳ κέντρῳ πρὸς μεσημβρίαν. [D. B. et Æ. M.]

F. 417v. Ἰουλιανοῦ Λαοδικέως[1].

Εἰδέναι δὲ χρὴ ὡς οἱ κακοποιοὶ [sc. ἀστέρες] ἀγαθοποιῶν δύναμιν ἐπισχόντες [f. 418] καλῶν παρεκτικοὶ γίνονται, οἱ δ' ἀγαθοποιοὶ κακωθέντες ἄπρακτοι γίνονται. ἀγαθύνονται δὲ οἱ μὲν κακοποιοὶ ἀστέρες, ὅταν ἐν ἰδίοις οἴκοις ἢ ὑψώμασιν ἢ ὁρίοις ἢ τριγώνοις ὦσι κατὰ αἵρεσιν· κακοῦνται δὲ οἱ ἀγαθοποιοὶ τοῖς τῶν εἰρημένων ἐναντίοις, τοῦτ' ἔστιν ἐν τοῖς ἑαυτῶν ταπεινώμασιν ἢ παρ' αἵρεσιν· πραΰνονται δὲ τῆς κακώσεως οἱ κακοποιοὶ τριγωνίζοντες τὴν Σελήνην ἢ τὸν ὡροσκόπον.

1 καί post ἐνύδρους omis. N. Λέων P, Καρκίνος N. 2 καί post προσάντεις omis. N. ταχεῖς cod. 3 λιστρικούς N. 4 ὑπαμπέλους N, ἔχοντας καὶ ἀμπελῶνας P. τόπους N, ἔχοντας P. 5 Post Ὑδροχόος add. τραχεῖς P. 6 παρα ποτάμους P. ὑλόδους N. τόπους omis. codd. 6-7 Ἰχθύες μὲν λιμν. καὶ ἑλῶδες N, ubi haec verba ante εἰ δὲ Κριός (cf. pag. praec., l. 19) transposita sunt. ἑλωδες N, κηλῶδεις P. 10 καταπλακεῖσι P, κατα γείσι N. 11 πάλιν post καὶ οὕτως P. 13 χρή omis. N. τὴν Σελήνην N. 14 μέν suppl. διὸ διοδεύουσα N. 15 ὑπὸ γῆν P, ὑπόγειον N. δυσκόλως codd., nos δύσκολον. καταλειφθεῖσα N. 16 ταῖς ἐπαναφοραῖς N. ἐν ante τῷ omis. N. 17 ἀποφαίνεται N, ἀπονέμει γεγονέναι P. 18 τῷ δύνοντι N, τῇ δύσει (ἐν omis.) P. 19 Parisinus liber pergit Δηλώσουσι δὲ καὶ τὰ κέντρα τὴν ἔξοδον δι' ἧς ἀναχωροῦσιν πύλης οἱ φεύγοντες etc. per paginas tres. 24-25 κατὰ αἵρεσι cod. 26 παραίρεσι cod.

[1] Prima duo frustula ex Iuliani Laodicensis Ἐπισκέψεως ἀστρονομικῆς primo capite (supra p. 105, v. 3-11 et 29 ss.) hausta sunt. Tertium num ad eundem referendum sit auctorem, incertum manet. [F. C.]

Τοῦ αὐτοῦ.

Ἀγαθοποιοὶ ἀστέρες Ζεύς, Ἀφροδίτη, Σελήνη· κακοποιοὶ Κρόνος καὶ Ἄρης· ἐπίκοινοι Ἥλιος καὶ Ἑρμῆς. ὁ μὲν Κρόνος ποιεῖ αὐτοκράτορας, ὁ δὲ Ζεὺς κατακριτάς, Ἄρης στρατοπεδάρχας, Ἥλιος ἀτάφους, Ἀφροδίτη ἐνθέους, Ἑρμῆς ἀρχιμύστας.

Διαφορὰ ζῳδίων μερική [1].

Δημόσια Ζυγός, Λέων· ἀγαθὰ Τοξότης, Ἰχθύες· δίκαιον Ζυγός· ἀσελγῆ Κριός, Ταῦρος, Λέων, Σκορπίος, Αἰγόκερως, Ἰχθύες· φθοροποιὰ Σκορπίος, Αἰγόκερως· δόλιον Σκορπίος· μανιώδη Ταῦρος, Λέων, Σκορπίος, Ἰχθύες· σπαστικὰ Καρκίνος, Σκορπίος· ἐπιληπτικὰ Ταῦρος, Λέων, Σκορπίος, Ἰχθύες· ἐκλειπτικὰ Κριός, Ζυγός, Ταῦρος, Σκορπίος· ὀργίλα Λέων, Σκορπίος· πικρὸν Σκορπίος· ἀμφίβια Καρκίνος, Αἰγόκερως· θηριώδη Λέων, Σκορπίος, Ταῦρος, Τοξότης, Αἰγόκερως· κυρτὰ Καρκίνος, Σκορπίος, Αἰγόκερως, Ἰχθύες, Ὑδροχόος· κυρτώδη Αἰγόκερως, Σκορπίος, Ἰχθύες, Καρκίνος· ἄστατον Ἰχθύες· ὀχλικὰ Καρκίνος, Ἰχθύες· μαλακοποιὰ Ταῦρος, Λέων, Σκορπίος, Τοξότης· λεπρώδη Καρκίνος, Σκορπίος, Αἰγόκερως, Ἰχθύες· βροντώδη Κριός, Παρθένος, Σκορπίος· χαλαζώδες Κριός· ἡμερινὰ Κριός, Σκορπίος, Δίδυμοι, Καρκίνος, Λέων, Παρθένος· νυκτερινὰ Ζυγός, Σκορπίος, Τοξότης, Αἰγόκερως, Ὑδροχόος, Ἰχθύες· χειμερινὰ Αἰγόκερως, Ὑδροχόος, Ἰχθύες· πυρώδη Κριός, Λέων, Σκορπίος, Τοξότης· ἀερώδη Δίδυμοι, Ζυγός, Ὑδροχόος· ὑδατώδη Καρκίνος, Σκορπίος, Ἰχθύες· γεώδη Ταῦρος, Παρθένος, Αἰγόκερως.

[D. B. et Æ. M.]

F. 430v. Ἐκ τῆς Ἡλιοδώρου ἀστρονομικῆς διδασκαλίας περὶ δεκανῶν ζῳδίων [2].

Ἰστέον δὲ ὅτι ἓν ἕκαστον ζῴδιον ἔχει δεκανοὺς τρεῖς, καὶ ἕκαστος δεκανὸς δέκα μοίρας κεκλήρωται· ἐν ἑκάστῃ <δὲ> μοίρᾳ ἓν νυχθήμερον ποιεῖ ὁ Ἥλιος ἤτοι κδʹ ὥρας, ἡ δὲ Σελήνη δύο· διέρχεται δὲ ὁ Ἥλιος

4 κατακρίτους cod., ut videtur. 7 δίκαια cod. 9 δόλια cod. 12 πικρά cod. 15 Post signum Scorpii in cod. signum Tauri, quod deletum esse videtur. ἄστατα cod. 27 δέ suppl.

[1] Similes indices cognominum signorum zodiaci invenies apud Ludwich, *Maximi et Ammonis rel.*, p. 105 et in nostro *Catal. Flor.*, p. 164 s.

[2] Haec paene ad verbum consentiunt cum excerpto quod, Teucro Babylonio auctore supposito, ex codice Monacensi 287 edidit Franciscus Boll, *Catal. Flor.*, p. 150, v. 5 ss. Quod excerptum re vera non Teucro tribuendum esse, sed Heliodoro et ex libro nostro Neapolitano apparet et Boll ipse collato codice Oxoniensi posterius animadvertit (*Sphaera*, p. 32, n. 1). — De Heliodoro astronomo, cf. supra, p. 81, n. 1, et de duobus Heliodori libellis, cuius reliquiae supersunt, vide quae in *Catal.*, VI, Kroll ad cod. Vindobon. phil. gr. 179 [= 3] f. 65 adnotavit. [F. C.]

ἕκαστον ζῴδιον δι' ἡμερῶν λ', ἡ δὲ Σελήνη διὰ β', ὅτι τὰς ιβ' μοίρας τὰς ἡλιακὰς μίαν μοῖραν σεληνιακὴν εἶπον γίνεσθαι, ὡς προσγειοτέρα οὖσα τάχιον ἀνύει τὸν ἴδιον κύκλον· λέγονται δὲ καὶ πρόσωπα τῶν ζ' πλανήτων οἱ δεκανοὶ τῶν ζῳδίων.

Δεκανῷ α' Κριοῦ ποιεῖ κινδύνους καὶ ἐπιβουλὰς καὶ ῥεύματα· ἐν δὲ τῷ β' πλουσίους καὶ ἐνδόξους ποιεῖ, ὁ δὲ γεννηθεὶς ταχυθάνατος ἔσται· ἐν δὲ τῷ γ' δηλοῖ νόσους <καὶ> θορύβους καὶ ἐν νεότητι κακοπαθείας, ὕστερον δὲ <ὁ γεννηθεὶς> εὐφραντικώτερος ἔσται.

Δεκανῷ α' Ταύρου ποιεῖ τὸν γεννηθέντα ἐκ πράξεώς τινος [f. 431] πλούσιον καὶ ἐπίδοξον· ἐν δὲ <τῷ> β' ποιεῖ τὴν νεότητα μοχθηρὰν καὶ τοὺς κινδύνους ταχέως διεκφεύγοντας· ἐν δὲ τῷ γ' ποιεῖ στρατιώτας, εὐποριστάς, ἐν συστάσεσι βεβαίους, πολυχρονίους καὶ τὴν πρώτην γυναῖκα ἀποβαλόντας.

Δεκανῷ α' Διδύμων ὁ γήμας οὐκ εὐτυχήσει καὶ οὐκ ἐπιτηδεύσει, καὶ ἐπὶ τέκνοις λυπηθήσεται· ἐν δὲ τῷ β' ἕξει γάμον οὐκ ἐπιτήδειον, εὐφορίαν δὲ στρατιωτῶν σημαίνει· ἐν δὲ τῷ γ' ποιεῖ πλουσίους, ἐνδόξους, ἄρχοντας· οἱ <δὲ> γεννηθέντες ὀξυθάνατοι καὶ βιαιοθάνατοι γενήσονται.

Δεκανῷ α' Καρκίνου ποιεῖ δημοσιοπράκτους· <οἱ γεννηθέντες> [καὶ] ἐπὶ τέκνοις λυπηθήσονται καὶ ἐν νεότητι πολλὰ κάμνοντες, εἰς δὲ τὸ γῆρας εὐτυχήσουσιν· ἐν δὲ τῷ β' δεκανῷ ποιεῖ τοὺς γημαμένους εὐχρηματίστους, καὶ ὠφεληθήσονται ἐξ ἑτέρων πραγμάτων καὶ λυπηθήσονται εἰς γυναῖκας καὶ κληρονομήσουσιν ἀλλότρια· ἐν δὲ τῷ γ' δεκανῷ ὁ γεννώμενος εὔγλωττος ἔσται καὶ ἐν νεότητι κακοπαθήσει, εἰς δὲ τὸ γῆρας εὐφρανθήσεται.

Δεκανῷ α' Λέοντος ἄρχοντας ποιεῖ καὶ πλουσίους· <ὁ γεννηθεὶς> [καὶ] ἐν τῷ τέλει εὐπορήσει καὶ γυναῖκα προθάψει· ἐν δὲ τῷ β' καὶ γ' δεκανῷ φαυλότητα ποιεῖ καὶ μοχθηρίαν ἀποτελεῖ καὶ τὸν ξενιτεύοντα διαφθείρει.

[F. 431v] Δεκανῷ α' Παρθένου κινδύνους ποιεῖ ἐν ὕδασι καὶ οἱ γεννώμενοι ὀρφανοὶ ταχέως γενήσονται· ἐν δὲ τῷ <β'> καὶ γ' εὐτυχεῖς ποιεῖ καὶ ἀπὸ γαμικῆς συναφείας πλουτήσουσι, πλὴν λυπηθήσονται ἐν γονεῦσι καὶ τέκνοις.

Δεκανῷ α' Ζυγοῦ ὁ γεννηθεὶς <ἐν νεότητι> πολλὰ κινδυνεύσει,

1-2 Num leg. ὥστε τὰς ιβ' μοίρας τὰς ἡλιακὰς μίαν μοῖραν σεληνιακήν, ὡς εἶπον, γενέσθαι, διότι προσγειοτέρα etc.? 2 εἴπων cod., corr. οὖσαν cod., corr. 3 λέγεται cod., corr. 7 καί suppl. ἐνεότητι cod., corr. 8 ὁ γεννηθείς suppl. et ita passim. 12-13 καὶ τῇ πρώτῃ γυναικὶ ἀποβαλεῖται cod., τὴν πρώτην γυναῖκα ἀποβαλόντας scripsimus. 14 δεκανῷ Διδύμων α' cod., corr. ἐπιτιδεύσει cod. 15 εἰς cod., ἕξει scripsimus. 17 δέ suppl. βιωθάνατοι cod., corr. 18 οἱ γεννηθέντες suppl. et ita passim. 19 καί uncis inclusimus. ἐν cod., ἐπί scripsimus. κάμνοντας cod., corr. 19-20 ἐν δὲ τὸ γῆρας cod., corr. 20 εὐτυχοῦσιν cod. 21 ὠφελοῦνται cod. 23 ὁ γεννόμενος cod. 25 πλουσίους καί cod. (omisso ὁ γεννηθείς). 27 ξενητεύοντα cod. 29-30 οἱ γενόμενοι cod. 30 β' suppl. 31 ἀπογαμικὴν συνάφειαν cod., corr. 32 γονεῖς cod., corr. 33 ἐν νεότητι suppl. Cf. *Catal. Flor.*, p. 150, l. 31.

ὕστερον δὲ κτήσεται προφάσει ὑπογείων ἀπὸ εὑρημάτων· ἐν δὲ τῷ β' πλουτήσει ἐν τετραπόδοις, γενήσεται δὲ ταχυθάνατος ἢ κακοθάνατος· ἐν δὲ τῷ γ' νόσους καὶ θορύβους ὑποστήσεται καὶ ἐν νεότητι κακοπαθήσει, ἐν δὲ τῷ γήραϊ εὐφρανθήσεται.

Δεκανῷ α' Σκορπίου <ὁ γεννηθεὶς> ἐξ ἑρμαϊκῶν ὠφεληθήσεται καὶ κληρονόμος ἀναφανῇ ἐνδόξων πραγμάτων· ἐν δὲ τῷ β' ἐν τῇ νεότητι μοχθηρίαν ἕξει καὶ κινδύνους ὑποστήσεται ἕως ἐτῶν λζ'· ἐν δὲ τῷ γ' [ὁ γεννηθεὶς] στρατεύσει πολλὰ καὶ πολυχρονίσει καὶ τὴν πρώτην γυναῖκα ἀπολέσει, ἐν δὲ τῷ τέλει πλουτήσει.

Δεκανῷ α' Τοξότου ὁ γεννηθεὶς οὐκ ἐπιτήδειος <ἔσται> γυναιξὶν καὶ ἐπὶ τέκνοις λυπηθήσεται· ἐν δὲ τῷ β' ἄλυπον τὸν βίον ποιήσεται, πλὴν ἐπὶ ξένης τελευτήσει· ἐν δὲ τῷ γ' πλουσίους ποιεῖ, ἐνδόξους, ἄρχοντας στρατιωτῶν, κληρονόμους γυναικῶν.

Δεκανῷ α' Αἰγοκέρωτος δημοσιοπράκτους ποιεῖ καὶ [f. 432] τέκνων λύπην ὁρῶντας· <οἱ γεννηθέντες> ἐν νεότητι πολλὰ κινδυνεύσουσιν, ἐν δὲ τῷ γήραϊ εὐτυχήσουσιν· ἐν δὲ τῷ β' εὐχρηματίστους ποιεῖ καὶ ἐξ ἑτέρων πραγμάτων ὠφελουμένους, ὕστερον δὲ καὶ εἰς γυναῖκας λυπηθήσονται· ἐν δὲ τῷ γ' <ὁ γεννηθεὶς> γενήσεται ὀξύς, ἐλευθερόγλωττος, πλὴν καὶ <πατρικὰ> χρήματα ἀπολέσει· ὕστερον δὲ ἐξ ἑτέρων εὐφρανθήσεται, πλὴν ἐν νεότητι κακοπαθήσει.

Δεκανῷ α' Ὑδροχόου <ὁ γεννηθεὶς> ἀγαθὸς γενήσεται καὶ εὐμετάβουλος καὶ γυναιξὶν εὐάρεστος· ἐν δὲ τῷ β' καὶ γ' δεκανῷ φαῦλος ἔσται, ἐν τῇ νεότητι μοχθηρός, πραγμάτων φθορεύς, ἔνυγρος ἄγαν.

Δεκανῷ α' Ἰχθύων <ὁ γεννηθεὶς> πονηρὸς γενήσεται, ἔνυγρος, μικρός, ὀρφανισθεὶς καὶ ὀξυθάνατος· ἐν δὲ τῷ β' καὶ γ' ποιεῖ εὐτυχεῖς <καὶ> ἐξ ἑτέρων πραγμάτων πλουτοῦντας καὶ ἐν γάμοις εὐτυχοῦντας καὶ ἐπὶ τέκνοις ἀρσενικοῖς λυπουμένους. [D. B. et Æ. M.]

F. 433v. Περὶ <τῆς> τοῦ Κυνὸς ἐπιτολῆς καὶ τῆς προγνώσεως τῶν ἐξ αὐτοῦ συμβαινόντων, Ἀντιόχου[1].

Ἡ τοῦ Κυνὸς ἐπιτολὴ γίνεται διαφαινούσης εἰκοστῆς τοῦ ἰουλίου μηνός· χρὴ δὲ παρατηρεῖν ἐν ποίῳ οἴκῳ οὔσης τῆς Σελήνης ἡ τούτου γίνεται ἀνατολή.

1 Kroll, loc. cit., l. 32, post ὑπογείων addidit ἢ. Num leg. ἀπὸ ὑπογείων εὑρημάτων? 4 γῆρας cod., corr. 6 ἀναφανεῖ cod., corr. 8 Ante στρατεύσει cod. ὁ γεννηθείς quae uncis inclusimus. πολυχρονήσει cod. 10 ἔσται suppl. 11 ποιεῖ cod., ποιήσεται scripsimus. 12 ἐπὶ ξένοις cod., corr. 16 εὐτυχοῦσι cod. 19 πρίν cod., πλήν scripsimus. Mox πατρικά inseruimus. Cf. *Catal. Flor.*, p. 151, l. 10. 22 γυναικί cod., γυναιξίν scripsimus collato loc. cit., l. 13. ἐστίν cod., ἔσται scripsimus. 26 καί suppl. 28 τῆς suppl. 31 τῆς ☾ ἡνίκα τούτου cod.

[1] Idem excerptum paucis verbis mutatis Zoroastro tribuitur in Geoponicis, I, 8 (p. 15, ed. Beckh). Nescio utrum codicis Neapolitani librarius errore nomen Antiochi praemiserit an auctor Geoponicorum Zoroastri, an Antiochus ex colle-

Ἐν Λέοντι οὔσης τῆς Σελήνης, ἐὰν ἀνατολὴ γένηται τοῦ Κυνός, σίτου φορὰ πολλὴ καὶ ἐλαίου καὶ οἴνου ἔσται καὶ τῶν ἄλλων πάντων εὐωνία· θόρυβος δὲ καὶ ἀπαλία τοῦ ἀέρος καὶ ἐπιδρομὴ ἐθνῶν· ἔτι σεισμοὶ καὶ κλύδωνες ἔσονται.

Ἐν Παρθένῳ οὔσης τῆς Σελήνης πολυομβρίαι, εὐφρασίαι καὶ τικτουσῶν φθορά, σωμάτων καὶ τετραπόδων εὐωνία.

Ἐν Ζυγῷ οὔσης αὐτῆς μεγιστάνων ταραχαὶ καὶ τετραπόδων ὄνησις καὶ θόρυβος ἐν τοῖς ὄχλοις, ἐλαίου καὶ σίτου φθορά, οἴνου δὲ εὐφορία.

Ἐν Σκορπίῳ οὔσης τῆς Σελήνης πτηνῶν καὶ μελισσῶν φθορὰ καὶ λοιμικὴ κατάστασις.

Ἐν Τοξότῃ οὔσης αὐτῆς πολυομβρία ἔσται καὶ σίτου εὐθηνία καὶ εὐφροσύνη ἐν τοῖς ἀνθρώποις, θρεμμάτων φθορά, τῶν δὲ πτηνῶν εὐφορία.

Ἐν Αἰγοκέρωτι οὔσης τῆς Σελήνης στρατοπέδων κίνησις γενήσεται καὶ πολυομβρία, σίτου καὶ οἴνου καὶ ἐλαίου πολλὴ εὐφορία καὶ πάντων εὐωνία ἔσται.

[F. 434] Ἐν Ὑδροχόῳ οὔσης τῆς Σελήνης σίτου φθορὰ καὶ ἀκρίδος ἔφοδος καὶ σπάνησις ὄμβρων καὶ λοιμοί.

Ἐν Ἰχθύσιν οὔσης αὐτῆς πολυομβρία ἔσται, πτηνῶν φθορά, σίτου καὶ οἴνου εὐφορία καὶ νόσοι ἐν τοῖς ἀνθρώποις.

Ἐν Κριῷ οὔσης αὐτῆς τῶν ζῴων ἔσται φθορά, πολυομβρία, σίτου ἐλαχίστη φορά, ἐλαίου εὐφορία.

Ἐν Ταύρῳ οὔσης αὐτῆς πολυομβρία καὶ χάλαζα, ἐρυσίβη καὶ τιμωρίαι πολλαί.

Ἐν Διδύμοις οὔσης αὐτῆς σίτου καὶ οἴνου πολλὴ φορὰ καὶ παντὸς καρποῦ καὶ ἀνθρώπων φθορὰ καὶ στρατοπέδων κίνησις.

Ἐν Καρκίνῳ οὔσης αὐτῆς ξηρασία γενήσεται καὶ λοιμοί.

[D. B. et Æ. M.]

2 πολύ cod., corr. 3 ἀπολία cod., ex Geop. corr. 8 φορά cod., φθορά Geop. 11 εὐθυνία cod. 15 πολύ cod., πολλή scripsimus. 25 πολύ cod.

Petri philosophi epistula.

Petrus philosophus, cuius ἔκθεσις περὶ ἀστρονομίας in codice Neapolitano ff. 446 ss. servatur, idem esse videtur atque " Petrus diaconus et philosophus „ cui excerptum de cyclo et indictione et tractatus de sideribus in codicibus Parisinis 929 (f. 97) et 3085 tribuuntur. De hoc astronomo alioquin nil comperimus (cf. Fabricius-

ctaneis, quae sub nomine Zoroastri prophetae circumferebantur, haec in usum suum converterit. Caput anonymum eiusdem argumenti traditur in cod. Flor. 12, saec. X, f. 123, et in cod. Mutin. 11, f. 74ᵛ. Certe divinationis methodo, quae hic adhibetur, iam antiquos Graecos usos esse comperimus ex Cicerone (cf. ad Apomasarem, p. 124, n. 2). — De Antiocho Atheniensi, quo Hephaestio Thebanus fonte saec. V ineunte usus est (Engelbrecht, p. 36) et quem antea Porphyrius laudaverat, vide quae congessit Boll, *Sphaera,* p. 54 ss. [F. C.]

Harles, *Bibl.*, XI, 334, qui eum perperam cum Petro diacono iuris canonici perito confudit). Attamen ex hac epistula apparet eum medio saeculo XII floruisse, nam patriarcha, cui scripsit, est Lucas Chrysoberges, qui annis 1156-1169 ecclesiae Constantinopolitanae praefuit. Eo autem tempore quaestionem, utrum astrologia verax sit an fallax, agitatam fuisse ex alia epistula vidimus imperatoris Manuelis Comneni (1143-1180 p. C.), quae in codd. Venet. 5, f. 312, et Angel. 29, f. 1, traditur. Quam nos propediem in catalogo Romano edituros esse speramus. [F. C.]

F. 443v. Ἐπιστολὴ Πέτρου φιλοσόφου εἰς τὸν πατριάρχην κῦρ Λουκᾶν.

Ὀλλύσθω, θεοτίμητέ μου δέσποτα, ἀστρολογία πᾶσα Ἑλληνική, ἵνα δή σοι τῶν σῶν πρωτογεννημάτων ἐφ᾽ ἑστίας εὐθὺς ἀπάρξωμαι· φθειρέσθωσαν οὖν ἡμῖν Κύνες ἀστράπτοντες καὶ Ταῦροι ὑβρίζοντες καὶ <Παρθένος> ἀφιεῖσα φωνὴν καὶ ὁ τῆς ἀδικίας Ζυγός· συμφθειρέσθω τούτοις καὶ τὰ πρῶτα τῆς ἀπάτης μυθεύματα, ἀφ᾽ ὧν ἐδραματουργήθη ἡ ζωηφόρος πλάσις ἐν οὐρανῷ. τὸ μὲν τρέπεσθαι τὸν ἀέρα ταῖς τῶν ἄστρων ἐπιτολαῖς τε καὶ ἀνατολαῖς οὐ πάνυ τι ἀπιστῶ τοῖς περὶ τούτου φιλοσοφήμασιν· ἔχω γὰρ καὶ τὴν αἴσθησιν πολλαχοῦ τῶν γινομένων ἐπιμαρτυροῦσαν τοῖς πράγμασι· Καρκίνους δὲ καὶ Λέοντας ἐξεπίτηδες καὶ προηγουμένως ἐν οὐρανῷ συμπεπλάσθαι παρὰ τῆς τοῦ δημιουργοῦ τῶν ὅλων χειρὸς μήποτε ἐκσταίης φρενῶν ὥστε καὶ ἀκροθιγῶς τοῖς ὠσὶ παραδέξασθαι, ποιεῖν δὲ τὰ ἄστρα ἐν τῇ καθ᾽ ἡμᾶς οὐσίᾳ το[f. 444]σοῦτον δέχομαι, ὥστε μεταλλοιοῦν ταῦτα τὸν ἀέρα ταῖς ἰδίαις κράσεσι καὶ ποιότησι, καὶ διὰ τοῦτο ψύχειν ἢ θερμαίνειν ἡμᾶς, ἧττον ἢ μᾶλλον ἑκάτερον. ἔνθεν τοι καὶ ὁ λαμπρὸς οὗτος ἀστὴρ ὁ παρ᾽ Ἕλλησι μὲν Κύων ὀνομαζόμενος, Μαζουζὼθ δὲ παρὰ τοῖς Ἑβραίοις καλούμενος, ὥς τινες τῶν τὴν γλῶτταν μεταβαλλόντων διηρμηνεύκασιν, εἷς τῶν ἀπλανῶν ἀστέρων ἐστὶν ἐν τῷ μετώπῳ τοῦ λεγομένου Κυνὸς προφαινόμενος· οὐ γὰρ ἡ σύμπασα πλάσις ἐστὶ τοῦ Κυνός, ἀλλὰ ἀπὸ τοῦ μέρους τὸ σύμπαν κατερρήθη. καὶ οὗτος γοῦν ὁ ἀστὴρ φλογωδέστατος, εἰ καί τις ἄλλος τῶν κατ᾽ οὐρανὸν ἀστέρων ἐστί, καὶ τὸν μὲν ἄλλον χρόνον, καθ᾽ ὃν οὐ συνοδεύει τῷ Ἡλίῳ, πόρρω τῶν ἐκείνου ἀκτίνων φερόμενος· ὅταν δὲ ὁ Ἥλιος τὸν θερινὸν ἀναβαίνων κύκλον ἢ ἐκεῖθεν ἠρέμα καὶ βραχὺ κατιὼν ἐπιψαύσοι τῆς τούτου θεώσεως — εἴποιμι δὲ κινήσεως, — οἱονεὶ ὑπερεξάπτει τοῦτον τῷ οἰκείῳ πυρὶ καὶ διακαέστερον ἀπεργάζεται.

Γίνεται δὲ ἡ ἐπιτολὴ τοῦ Κυνὸς ἀπὸ τῆς ια′ τοῦ ἰουλίου μηνός,

6 καὶ νᾶς cod., καὶ Παρθένος scripsimus. Cf. Ludwich, *Maximi et Ammonis rel.*, p. 107, 2. 11 τε cod., δέ scripsimus. 14 τῇ cod., correctum ex τοῖς. 15 μεταλλιοῦντα ταῦτα cod., μεταλλιοῦν scripsimus. 18 Ἕλησι cod. 22 κατηρήθη cod., κατερρήθη scripsimus. 27 οἷον cod., οἱονεί scripsimus. 29 ια′] Exspectes ιθ′ vel κ′; cf. supra, p. 154, l. 30 et p. 124, n. 1. Cf. tamen Theophilum ap. Dietz, *Scholia in Hippocr. et Galen.*, 1834, II, p. 385-6 [Schöne].

ὁπηνίκα πυρωδέστερος μὲν ἑαυτοῦ ὁ ἀὴρ γίνεται, ὑπερζεῖ δὲ τὰ ἡμέτερα σώματα καὶ αἱ τούτων δυνάμεις τῷ πολλῷ τοῦ ἀστέρος πυρὶ ἐξασθενοῦσι τε καὶ καταβέβληνται. ταύτῃ τοι καὶ Ἱπποκράτης τὰς ὑπὸ Κύνα καὶ [f. 444v] πρὸ Κυνὸς θεραπείας φαρμακείας ἐργώδεις διαγνοὺς οὕτως ὠνόμασεν· ὑπὸ Κύνα γάρ φησι καὶ πρὸ Κυνὸς ἐργώδεες αἱ φαρμακεῖαι· διχῇ δὲ διεῖλε τὴν ὅλην τοῦ Κυνὸς δύναμιν εἴς τε τὴν ὑπὸ τὸν Ἥλιον κρύψιν καὶ τὴν μετὰ ταῦτα ἐπιτολήν· καὶ ὑπὸ Κύνα μὲν εἰρήκει τὴν ἐπιτολὴν τοῦ Κυνός, πρὸ Κυνὸς δὲ τὴν προηγουμένην κρύψιν αὐτοῦ πρὸ τῆς ἐπιτολῆς· οὔκουν οἱ Ἀσκληπιάδαι καθαίρουσιν οὔτε πρὸ τῆς ἐπιτολῆς οὔτε μετὰ τὴν ἐπιτολὴν εὐθύς, ἀλλὰ δέκα μὲν πρὸ τῆς ἐπιτολῆς ἡμέρας, ὥστε μὴ καθαίρειν τὰ σώματα ἀφωρίσαντο, δέκα δὲ μετὰ <τὴν> ἐπιτολήν. τὸ γοῦν ἐντεῦθεν κατάρχονται τῶν καθάρσεων· ἠσθένηκε γὰρ τηνικαῦτα ὁ Κύων τοῦ Ἡλίου διαζυγείς, καὶ αὐτίκα ὅτε ὁ ἀὴρ ἐπὶ τὸ ἐγκρατέστερον μεταβέβληται καὶ τὰ ἡμέτερα σώματα εὖ ἐθάλφθη τε καὶ ἐρρώσθη· εἰ γὰρ αἱ τῶν ἀστέρων ἐπισημασίαι τήν τε τοῦ ἀέρος κρᾶσιν μεταποιοῦσι καὶ τὴν θάλασσαν ἀθρόως κυμαίνουσιν, πῶς οὐχὶ καὶ τοῖς ἡμετέροις σώμασι ζάλην τινὰ καὶ ταραχὴν ἐμποιοῦσιν; εἰ γὰρ ταῖς ὁλότησι τῶν στοιχείων ἐπισημαίνονταί τι τῆς οἰκείας δυνάμεως, πῶς οὐχὶ καὶ τὰ μέρη τούτων καινοτομήσουσιν; οὔτε οὖν εὐθὺς δυομένου τοῦ ἀστέρος ὑπὸ τὸν Ἥλιον ἐφεκτέον [f. 445] ἡμῖν τῶν καθάρσεων οὔτε μετὰ τὰς πολλὰς τῆς ἐπιτολῆς ἡμέρας, ἀλλ' ἐπειδὴ πεντεκαίδεκα ἡμέρας κέκρυπται ἑῴαν δύσιν ποιούμενος ἄχρι πρώτης ἐπιτολῆς. τὰς μὲν πρώτας πέντε ἡμέρας οὐ πάνυ τι παραφυλακτέον τὴν κάθαρσιν, ἀλλὰ τὰς δέκα τὰς ἐσύστερον· οὐ γὰρ ὑποδὺς εὐθὺς ἀπολαύει τῆς τοῦ Ἡλίου θερμότητος, ἀλλὰ κατὰ βραχὺ προιών. ἐπεὶ δὲ καὶ ἔξω τῶν ἡλιακῶν ἀκτίνων γενόμενος μετὰ τὰς πεντεκαίδεκα ἡμέρας τῆς ἐπικρύψεως ἔτι γειτονῶν τῷ φωστῆρι ἀπολαύει τοῦ ἐκεῖθε φωτὸς δέκα ἡμέρας, αὖθις ἐκ τοῦ γειτονήματος τῷ ἀστέρι οἱ περὶ τὸν Ἱπποκράτην ἐμέτρησαν <τὰς> δύσεις. εἴκοσι γοῦν ὅλαις ἡμέραις ἀφεκτέον ἡμῖν τῶν καθάρσεων, ἤτοι ἀπὸ τῆς ια' τοῦ ἰουλίου μηνὸς ἄχρι τῆς τριακάδος αὐτοῦ, μικρόν τι πλέον ἢ ἔλασσον, καὶ μήτε ὑπὸ Κύνα, ὅπερ ἐστὶν ἐπιτέλλοντος τοῦ Κυνός, μήτε πρὸ Κυνός, ὅπερ ἐστὶ δύνοντος, ποιητέον τὰς καθάρσεις ἡμῖν, ἵνα μὴ τὴν ξηρότητα τῶν σωμάτων ἡμῶν τῇ προσθήκῃ τῆς καύσεως ἐπιτείνωμεν, ἵνα μὴ καταβεβλημένας ὑπὸ τοῦ καιροῦ τὰς φυσικὰς ἡμῶν δυνάμεις ἀσθενεστέρας τῷ καθαρσίῳ ποιήσωμεν, ἵνα μὴ τὴν διαφόρησιν [f. 445v] τῶν σωμάτων ἡμῶν ἐπαυξήσωμεν καὶ ἐξεπίτηδες τοῖς ἡμετέροις ἐπηρεάσωμεν σώμασι. ταῦτα δὲ παραφυλακτέον ἡμῖν, μή τινος ὀξέος

1 πυροδέστερος cod. ὑπερζῇ cod. 5 ὀνόμασεν cod., corr. Cf. Hippocr. Aphor. in opp., ed. Kühn, III, 727 = IV, 502, Littré. 5-6 ἐργώδεις cod., corr. 12 τὴν suppl. 14 τῶ ἐγκρατώτερον μεταβέβληνται cod. 15 ἐφθάλθη cod., εὖ ἐθάλφθη scripsimus. 16 κράσιν cod., acc. vulgari, ut alibi. 17 πῶς post καί cod., sed deletum eadem m. 26 ἐπί cod., ἐπεί scripsimus. 29 τάς suppl.

νοσήματος καταναγκάζοντος· εἰ γὰρ κυνάγχη τις ἢ πλευρῖτις κἂν ταῖς ἐπειρημέναις ἡμέραις ἐπεισφρήσῃ τοῖς σώμασι, χρώμεθα ταῖς καθάρσεσιν.

Οὕτως ἐγώ, θεοτίμητε δέσποτά μου, παντὸς ἐπαΐω μαθήματος ἀπὸ μὲν τῶν ὑψηλοτέρων ἐπιστημῶν, ὥσπερ ἐξ ἀρχῶν κρειττόνων, τὰς ὑποκειμένας ἐξαριθμούμενος, πολλάκις δὲ καὶ ἀπὸ τούτων, ὡς ἐν ταῖς γεωμετρίαις ποιεῖν εἰώθασιν, ἐπὶ τὰ πρῶτα τῶν θεωρημάτων ἀναπεμπόμενος. ἔνιοι γοῦν τῶν περὶ τὴν νομικὴν ὥσπερ θηρία μοι ἐξαγριαίνουσιν, ἐπειδάν τι καὶ περὶ ταύτης ὑψηλογήσωμαι, οὐ νὴ τὴν ἱεράν σου ψυχήν, τὴν ὀφρὺν κατ' αὐτῶν αἴρων, ὡς πλείω περὶ τὰ κρείττω πραγματευσάμενος, ἀλλ' ἐπειδὴ τῶν νομικῶν τὰ μὲν ψιλὴν ἔχει τὴν παραφορὰν καὶ οὐ πάνυ τι τῆς φιλοσοφίας ἀντιποιεῖται, τὰ δὲ βραχύ τι ἀνερπύζει καὶ βούλεται πρόσω τοῦ ὅρους ἐπαναβαίνειν, τὰ μὲν πολλὰ γυμνῷ χρῶμαι τῷ νόμῳ καὶ οὐ πλέον τι περιεργάζομαι, ὅπου δὲ τομή τις ἐστι πράγματος καὶ διαίρεσις τεχνικὴ ἢ καὶ ἀναφορά τις τῶν τετμη[f. 446]μένων, ἐνταῦθά τι καὶ τῆς σεμνοτέρας ἐπιστήμης παρενείρειν ἀποθαρρῶ. καὶ εἰ μέν τις ἐπὶ τούτοις φιλόσοφος ἀπαντήσοι ἡμῖν ἀκοή, ἄγαται καὶ τέθηπε τὴν ἐπιβολὴν καὶ μικροῦ δεῖν τοῦτο τὸ γένος καταφιλοσοφοῦσιν ἡμῖν καὶ στέρνα καὶ μέτωπα, οἱ δὲ τῆς ἐναντίας μερίδος μονονουχὶ τοῖς ἑαυτῶν συμφθείρονται πάθεσιν· ἃ οὐκ ἴσασιν ἢ ὧν οὐκ ἐφίκοιντο, ταῦτα οὐδ' ἐν οὐσίας τίθενται μέρει, ἀλλ' οὗ μὲν ἀπρὶξ λάβοιντο, τούτου δὴ κάρτα ἔχονται ἢ ἀντέχονται, γενναῖον δὲ νοῦν καὶ φιλοσόφους ἀρχὰς οὔτ' ἴσασιν οὔτ' ἀποδέχονται. πρὸς γοῦν τὰς τῶν πολλῶν ἀκοάς, ὄμνυμι τὴν ἱεράν σου ψυχήν, τὴν ἐμὴν μετερρύθμισα γλῶσσαν ἢ πλέον εἰπεῖν παρερρύθμισα, καὶ μὴ θαυμάσῃς, εἴ σοι βραχύ τι τῆς ἐμῆς ἀνεπέτασα εὐγλωττίας· παρὰ γὰρ τῷ μεγάλῳ δεσπότῃ μου καὶ σοφῷ καὶ τὰ θεῖα καὶ ἀνθρώπινα καὶ τὴν ἐμὴν πάλαι γλῶτταν ἠγαπηκότι καὶ ἐπαινέσαντι τῶν ἐμῶν ἀπήχησα παιδικῶν.

[D. B. et Æ. M.]

F. 518v. Prognostica ex signis zodiaci[1].

Ὁ γεννηθεὶς νεώτερος ἐν καιρῷ ζῳδίου τοῦ Κριοῦ ἔσται εὐειδής, καλοθεώρητος, ἀναφάλαντος, πλατυπρόσωπος τῇ ὄψει καὶ τῇ ἡλικίᾳ

1 καταναγγάζοντος cod. πλευρίτις cod. 7-8 ἀναπεμπόμενοι cod. 9 ὑψηλογήσομαι cod. 13 ἀνερυπίζει cod., ἀνερπύζει scripsimus. 14 τὸ μή cod., τομή scripsimus. 16-17 παρενείρρειν ἀποθαρῶ cod., corr. 17 καὶ ἡ cod., εἰ corr. 23 πρό cod., πρός scripsimus. 25 μετερίθμησα cod. παρερύθμισα cod. 31 εὐειδείς cod. 32 ἀναφάλανδρος cod. et sic inferius. Num scribendum ἀναφάλανθος? ὄψῃ cod. passim, forma vulgari; scripsimus ubique ὄψει.

[1] Scriptio alia eiusdem generis sed breviore forma exstat, ut indicavimus, in cod. Bonon. 18, f. 314r sqq. Ex sermone apparet hanc, quam edimus, recentioris aevi esse, et verba quibus in codice introducitur (v. supra p. 63) significare videntur eam saeculo XV ab ipso librario congestam vel certe retractatam esse. Attamen

μέσος, εὔμορφος, χαροπός, δασύφριδος καὶ αὐστηροπρόσωπος· τῇ γνώμῃ πραΰς <καὶ> ἀληθινὸς ὑπάρχει· κυβερνῶν τὸν βίον πλούτου καὶ δόξης καὶ ἀξίας ἐπιτεύξεται, καὶ ὅλως ἔσται χαροπός, [καὶ] φρόνιμος, φιλόξενος, ἐλεήμων, φιλοπαθής· ἀπότολμος στρατιώτης καὶ κρυοπόνηρος· ἀπὸ γονικῆς ὑποστάσεως λύπην δέξηται· ὑπὲρ φίλου θήσει τὴν ψυχὴν αὐτοῦ καὶ εὐχαριστηθῇ· διὰ νέων κάλλος οἱ γονεῖς αὐτοῦ λύπην <ἕξουσι· ζημία> ἔλθῃ αὐτῷ διὰ χήρας γυναικὸς καὶ σχήματος ζητήσεως· ἀπὸ ἵππου <κίνδυνον> λάβῃ καὶ ἀπὸ ὕψους πέσει καὶ εἰς ὕδωρ· <διὰ> γυναῖκαν λοιδωρηθήσεται· ἀπὸ κεφαλῆς ἀ[f.519]σθενήσει καὶ οὐ κινδυνεύσει· εἰς διγαμίαν ἀπέλθῃ· ἀσθενήσει δὲ ἐτῶν ιε', κβ', λε' ἕως ἐτῶν μ'· ταῦτα διελθὼν ζήσει ἔτη πζ' καὶ ἀπὸ κοιλιακῶν ἀποθάνῃ· ἀπὸ ἐκβράσεως ἀσθενήσει· ἐλαίαν ἕξει ἐν τῇ ὄψει ἢ ἐν τόπῳ κρυπτῷ ἢ ἐν τῷ στήθει, καὶ ὅταν ἀσθενήσει, λαβὼν τοῦ κριοῦ τὸ κέρατον καὶ τρίχαν ἀπὸ τοῦ μετώπου αὐτοῦ καὶ ἀπὸ τῆς οὐρᾶς αὐτοῦ καῦσε μετὰ ἐλαίου καὶ ἄλειφε· λειτούργει δὲ καὶ τὸν ἅγιον Στέφανον τὸν πρωτομάρτυραν καὶ ἴασαι.

Ἡ γεννηθεῖσα κόρη ἐν καιρῷ ζῳδίου τοῦ Κριοῦ ἔσται εὐθαλὴς τὸ πρόσωπον, ὑπόκυφος, εὐπρεπής, ἀργόμογος· ὅταν μανιᾷ, κλαίει· φυλασσέσθω ἑαυτὴν ἀπὸ μάχης καὶ ἀντιλογίας ... λάβῃ ἄνδραν καὶ εὐτυχήσει; καὶ μετὰ ἑτέρου ἀνδρὸς καταντήσει, καὶ ἀπὸ γυναικὸς ζηλευθήσεται· κεφαλὴν πολλὰ πονέσει καὶ ὀφθαλμοὺς καὶ βραχίονας, καὶ ὕστερα ὑγιαίνει· καὶ ὑπὸ ἄλλου πλανηθῇ καὶ εἰς ἀπώλειαν ἔλθῃ ἀπὸ

1 χαροποιος cod. ut infra, corr. Kroll. δάσοφρυς coni. Kroll. αὐθιροπρόσωπος cod. καί suppl. 2 πραεῖς cod. 3 ὅλος cod. καί uncis inclusimus. 5 γωνικῆς cod. 6 εὐχαριστιθῇ cod. κάλος cod. 7 ἕξουσι et ζημία suppl. ἔλθει cod., et sic ubique. 8 κίνδυνον suppl. βλάβῃ (sine κίνδυνον) coni. Kroll; cf. p. 161, 3, 20. 9 ὕδρον cod. διά suppl. 10 δι' ἐτῶν cod. 11 ταῦτας cod. 12 ἀσθενεῖ cod., ut etiam inferius passim; scripsimus ἀσθενήσει. ἔχει cod., nos ἕξει. 13 ἢ] καί cod. 14 ἀπὸ τὴν οὐράν cod. 15 ἀλείφου cod. λειτουρ $^{\gamma}$ cod., quod tum λειτούργει, tum λειτουργεῖ legendum videtur; nos ubique λειτούργει scripsimus. 16 ἴασαι] Cod. his locis tum ἴασαι tum ἴαται exhibet; ἴασαι ubique scripsimus. 17 εὐθαλεῖς cod. 18 ἀργόμογγος cod. Num ἀργολόγος legendum? ἀργόμοχθος coni. Kroll. μανεῖ et κλέει cod. 19 φυλασέσθω cod., et ita fere ubique. ἀπὸ μάχην cod. Post ἀντιλογίας, ubi lacunam notavimus in cod., ταχεί<ας?> αὐτῆς βεβαμ $^{\alpha'}$. 20-21 ζηλωθήσεται? 22 Num leg. ἄλλης pro ἄλλου?

---

in cod. Vindob. theol. gr. 244 [nostro 14], s. XV, idem tractatus invenitur. — Christianos sanctos, qui in fine cuiusque paragraphi nominantur, ideo invocari nos monuit Franciscus Boll, quia eos stellis quibusdam praesidere credebant Byzantini; quod ex excerpto in *Catal. Veneti* p. 214 edito manifestum fit. Veterum deorum locum illi sancti obtinere videntur (cf. infra p. 165, 14), etsi paulo aliter sentiat scriptor anonymus de Mardaitis, cuius opusculum excerpto supra memorato in codice Veneto 5 (f. 420) iungitur. Εὐσεβέστεροι γάρ, inquit, χάριν σεβάσματος τὰς τῶν ἀστέρων τροπὰς ἁγίων ὀνόμασι Χριστιανοὶ προσανέθεντο, Ἑλλήνων ταύτας πρότερον εἰς ζῷά τινα, κριοὺς καὶ ταύρους καὶ καρκίνους κακῶς ἐπικαλεσάντων (cf. Morelli, *D. Marci Bibliotheca,* 1802, p. 218). [F. C.]

λόγου καὶ αὐτὴ νικήσει· σημεῖον ἕξει ἐπὶ τῆς κεφαλῆς αὐτῆς, ἐπὶ τοῦ προσώπου καὶ ἐν κρυπτῷ τόπῳ· ἀρρωστίας ἕξει [ἀπὸ] ἐτῶν γ' [καὶ] ζ' [καὶ] κζ' καὶ μγ'· ταύτας διελθοῦσα ζήσει ἔτη ος'· ὅταν ἀσθενήσει, ἂς λειτούργει τὴν ἁγίαν Θέκλαν καὶ ἴασαι.

[F. 519v] Ὁ γεννηθεὶς νεώτερος ἐν καιρῷ ζῳδίου τοῦ Ταύρου ἐν ἡμέρᾳ ἀγαθῇ ἐγεννήθη· ἐτῶν γ' ἀσθενήσει, ἐὰν δὲ ἔλθῃ τὰ δ', μακρόβιος γίνεται· ἔσται δὲ τῇ θεωρίᾳ ξανθός, μεγαλοπρόσωπος, ἀναφάλαντος, πραῢς τῇ ὄψει, μεσαῖος τῇ ἡλικίᾳ, εἰς γυναῖκας συρόμενος, τῇ δὲ καρδίᾳ ἀψύς, φρόνιμος καὶ λογικός· τὸ βάδισμα αὐτοῦ ταπεινόν· ἀναίσχυντος εἰς πορνείαν, ὑπὸ πολλῶν γυναικῶν ἀγαπώμενος καὶ μετὰ ἀλλοτρίας περιπατήσει καὶ εὐχὴν μητρὸς κληρονομήσει· ἀγαπηθήσεται ὑπὸ παρθένου κόρης καὶ εἰς γυναῖκα ὕπανδρον καταπλακῇ· διὰ τέκνον λυπηθῇ καὶ μεγάλως τιμηθῇ καὶ τῇ οἰκίᾳ αὐτοῦ ὠφελήσει· ἀπὸ γειτόνων καὶ ἰδίων λοιδωρηθήσεται καὶ ἀπὸ θεοῦ βοήθειαν ἕξει· ὁ βίος αὐτοῦ ὁμαλός· ἀπὸ κακῶν ἀνθρώπων δίκας ὑποστῇ <καὶ> πραγματείας· ἐὰν πολεμήσῃ, εὐτυχήσει, καὶ ἐὰν μάθῃ γράμματα, μεγάλως προκόψει, καὶ μοναχικὸν σχῆμα ζητήσει· ἀσθενήσει καὶ οὐ τελευτήσει· νεφρὰ πονέσει· ἀπὸ οἰκίας εἰς οἰκίαν μετασταθῇ· πονέσει δὲ σπλῆναν καὶ πόδας· σημεῖον ἕξει ἐπὶ τοῦ στήθους καὶ ἐν κρυπτῷ· αἱ ἀρρωστίαι αὐτοῦ ἐτῶν γ', ζ', [καὶ] ιδ' καὶ μ'· ταύτας διελθὼν ζήσει ἔτη οθ', τελευτήσει δὲ ἀπὸ <νόσου> κοιλίας· [f. 520] βοϊκὸν κρέας μὴ ἐσθιέτω ἐν τῇ ἀσθενείᾳ αὐτοῦ· ἀπὸ γυναικὸς φάρμακον δέξηται καὶ οὐ μὴ ἀδικηθῇ, καὶ ζημίαν ἄδικον δώσει· λειτούργει δὲ τὸν Ἀρχιστράτηγον, καὶ οὐ κινδυνεύσει.

Ἡ γεννηθεῖσα κόρη ἐν καιρῷ ζῳδίου τοῦ <Ταύρου> ἕξει πόνον τῆς κεφαλῆς καὶ τῶν ὀδόντων [διαβάσει]· ἔσται δὲ ἄοκνος, φρόνιμος, καλοπρόσωπος, ῥοδίνη, εὔμορφος, καταβλέπουσα τὴν ἑαυτῆς ψυχήν· ἐτῶν γ' ἀσθενήσει· φορεῖ δὲ καὶ φυλακτήριον λόγους θεοῦ καὶ οὐ μὴ ἀδικηθῇ· γεννηθῇ δὲ θεοσεβής· ὁ ἀνὴρ αὐτῆς δι' αὐτὴν εὐτυχήσει· παιδία δὲ ποιήσει καὶ εἰς αὐτὰ λύπην δέξηται· φυλασσέσθω ἑαυτὴν ἀπὸ τοῦ ὕδατος· ἔσται χρήσιμος <καὶ> οἰκονομική· αὐτὴ ἐκ τῶν ἰδίων ζητηθῇ· χολικὴ πολλὰ γενήσεται καὶ πάλιν γοργὸν στρεφομένη· ἐλαίαν ἕξει εἰς τὸ πρόσωπον καὶ εἰς κρυπτὰ μέλη εἴτε εἰς γόνατα· ἀπὸ πάντων ἀγαπω-

1 Num leg. αὐτήν pro αὐτή? 1-2 ἐπὶ τὴν κεφαλήν et ἐ. τὸ πρόσωπον cod. 3 διελθών scriba cod., qui ubique in hoc verborum nexu participium masculinum adhibet pro feminino, fort. usum linguae vulgarem secutus; cf. Dieterich, *Untersuch. z. Gesch. d. griech. Sprache*, p. 207 sqq. 4 Θέκλαν, cf. *Catal. Venet.*, p. 214, 7. 6 τϛ' δϛ' cod. 8 πραεῖς cod. μεσέως cod. συρόμερος cod. 9 ἀψής cod. 10 πορνίαν cod. ἀλλοτρίαν cod. 11 εὐνήν coni. Kroll. 13 Num τὴν οἰκίαν αὐτοῦ leg.? ἀπὸ γείτονα cod. 14 ἔχει cod., ἕξει scripsimus. ὁμαλῶς cod. 15 καί suppl. πραγματίας cod. 17 πονέσουν cod., πονέσει scripsimus. 19 ἀρρωστεῖαι cod. 20 καί uncis inclusimus; mox νόσου suppl. 21 κοιλίαν cod. ἀσθενία cod. 25 διαβάσει uncis inclusimus 26 ῥοδινῆ cod. καταβλέπουσαν cod. 28 ἀδικηθεῖ cod. 30 καί suppl. οἰκονομικῆ cod. ζητηθεῖ cod. 31 χολιακή cod. γεννήσεται cod. ἔχουσα cod., ἕξει scripsimus. 32 ἀγαπημένῃ cod.

μένη· ἔρχουνται εἰς αὐτὴν ἡμέραι καλαὶ καὶ ἡμέραι πονηραί· κυριακῇ ἡμέρᾳ κρέας χοίρεον μὴ ἐσθιέτω· ἀπὸ πνεύματος πονηροῦ πολεμηθῇ καὶ οὐ μὴ βλαβῇ· ἅπτε κανδήλαν εἰς τὸν ἅγιον Θεόδωρον, καὶ ὅταν ἀρρωστήσει, λάμβανε δάφνης φύλλα καὶ σμύρναν καὶ ἅγιον ἔλαιον ἀπὸ κανδήλας τῶν ἁγίων Ἀναργύρων, [f. 520v] σμύγε αὐτὰ καὶ ἄλειφε· λειτούργει δὲ τὴν ἁγίαν Παρασκευὴν καὶ ἴασαι.

Ὁ γεννηθεὶς νεώτερος ἐν καιρῷ ζῳδίου τῶν Διδύμων ἔσται ἕως ἐτῶν θ′ ἐπίνοσος· εἰ δὲ ἔλθῃ τὰ ιβ′ [ἔτη], μακρόβιος γενήσεται· ἔνι δὲ ἀνὴρ καλὸς καὶ εὐειδής, μελίχροος, στρογγυλοπρόσωπος, μακρόφθαλμος, καλοθεώρητος, μικρός, φουμιστής, πάντας ἐναθετῶν, παιγνιώδης καὶ ὑπὸ πολλῶν γυναικῶν ἀγαπώμενος, ἔχων συνάντημα καλὸν καὶ ἐπιχείρημα ἀγαθόν· εἰς ὁδὸν καλὰ πράξει· ἰδίους καὶ φίλους τιμήσει· τὸν γονικὸν οἶκον ἐκφύγῃ· ἔσται δὲ φιλαγαπητικός· μεγάλων πραγμάτων κύριος γενήσεται· ἔσται πολύμοχθος· πτωχείαν οὐ μὴ ἴδῃ· τοὺς ἐχθροὺς αὐτοῦ πατάξει· ἔσται δὲ ὀξὺς καὶ θυμώδης, τὸ ἴδιον θέλημα διακρατῶν, μὴ ἀνεχόμενος κελευσθῆναι ὑπό τινος· πατρικὴν οἰκίαν οὐ κληρονομήσει καὶ ἀπὸ κόπου αὐτοῦ κτήσεται βίον· γυναῖκα ἀγαπήσει μελιχρὰν καὶ ἑτέραν λάβῃ καλήν· θάψει αὐτὴν καὶ εἰς ἑτέραν ἐμπέσει· διὰ τόκον λυπηθῇ· ὑπὸ ὕδατος φόβον διαβάσει· ἀπὸ ὕψους καὶ ἀπὸ ξίφους βλαβῇ· ἀπὸ τετραπόδου πληγὴν ἕξει· νεφρὰ πονέσει [f. 521] καὶ τὸ οὖς καὶ τὸ κράνιον· ταῦτα διελθὼν ζήσει ἔτη πθ′, καὶ καλοῦ θανάτου τελευτήσει· σημεῖον ἕξει ἐν τῇ ὄψει, ἐν τῷ στήθει καὶ ἐν τῇ χειρί· κοιλίαν πονέσει· ὅταν ἀρρωστήσει, ἂς λάβῃ κριθάλευρον καὶ θυμίαμα καὶ λίβανον σὺν ἐλαίῳ καὶ ἂς ἀλείφεται· λειτούργει δὲ καὶ τὸν μέγαν Γεώργιον καὶ ἴασαι.

Ἡ γεννηθεῖσα κόρη ἐν καιρῷ ζῳδίου τῶν <Διδύμων> ἔσται ἱερακόφθαλμος, ἐπίνοσος <ἕως> ἐτῶν ε′, ἐπιζύγιος· εἰς τοὺς ὀφθαλμοὺς αὐτῆς πονέσει πολλά· ἔσται δὲ ἄνδρα ἀγαποῦσα πολλὰ καὶ τοὺς ἰδίους· λαγωοῦ κρέας μὴ ἐσθιέτω· βίον γονικὸν κληρονομήσει· εἰς δύο ἄνδρας ἐμπέσει καὶ δίδυμα παιδία ποιήσει· ἐξ ἰδίου κόπου κτήσεται βίον· ἀπὸ τῶν ἰδίων γονέων θλιβήσεται· πολυκάματος γενήσεται, καὶ ἐκ τῶν ἰδίων χάριν οὐχ ἕξει· ἐτῶν ιδ′ ταράξει τὴν πατρικὴν οἰκίαν καὶ ἄνδρα

1 κυριακήν cod. correximus. 2 πολεμηθεῖ cod. 3 βλαβεῖ cod. ἅπται cod. 4 ἔλαιος cod. 5 ἀλήφου cod. et ita passim. 7 τοῦ ♊ cod., τῶν Διδύμων scripsimus. 8 ἐπίνοσον cod. Tum ἔτη uncis inclusimus. ἔνει cod. 9 καλῶς cod. εὐηδής cod. 10 φουμιστής, quod hic et p. 169, l. 3 invenitur, quid significet, ignoramus. πάντως cod., ut vid. πεγνιότης cod. 12 πράξεις cod. τιμήσεις cod. 13 ἐκφυγεῖς cod. μεγάλως cod., corr. Kroll. 14 πτωχίαν cod. ἴδει cod. 17 στήσεται cod., corr. Kroll. 18 μελιχρήν cod. λᾶ′ cod. et ita passim; λάβῃ scripsimus. θάψη cod. 20 λάβη cod. 21 καὶ ὁ νοῦς cod., καὶ τὸ οὖς scripsimus. 22 ἔχει cod., ἕξει scripsimus. 23 ἀρρωστεῖ cod., ἀρρωστήσει scripsimus. 24 ἀλήφεται cod. 26 τοῦ cod., τῶν scripsimus. Διδύμων suppl. 27 ἕως suppl. 28 ἀνδρί cod. 29 γωνικόν cod. An οἶκον γον.? κληρομήσει cod. 30 κτίσεται cod. 31 πολλυκάματος cod. 32 ἔχει cod., ἕξει scripsimus.

Ζητοῦσα τοὺς ἰδίους γονεῖς λυπήσει· σημεῖον ἕξει ἐν κρυπτῷ τόπῳ καὶ ἐπὶ τοῦ ὤμου· τραχεῖα καὶ πολυχρόνιος, πολυενθύμητος δὲ καὶ πολυζήτητος· ἀρρωστίας ἕξει ἐτῶν γ', ε', κη', με'· ταῦτα διελθοῦσα ζήσει ἔτη π'· ὅταν δὲ ἀρρωστήσει, λάμβανε θεῖον λίβανον σὺν ἐλαίῳ καὶ ἄλειφε μετὰ σμύρνης· λειτούργει δὲ καὶ τὴν ἁγίαν Εἰρήνην καὶ ἴασαι.

[F.521v] Ὁ γεννηθεὶς νεώτερος ἐν καιρῷ Ζῳδίου τοῦ Λέοντος ἔσται ἐπίνοσος· εἰς ἡμέραν βαρείαν ἐγεννήθη· στρογγυλοπρόσωπος, πλατυπρόσωπος, ἔχων χεῖρας καὶ πόδας μεγάλους, τῇ ἡλικίᾳ μέσος, ἔχων ἐπίχειρον βαρύ· ἐτῶν ε' ἀσθενήσει, πονέσει δὲ ἐν τῇ νεότητι αὐτοῦ ἧπαρ καὶ στόμαχον· ἐὰν δὲ ἔλθῃ τὰ ιβ' ἔτη καὶ φθάσῃ εἰς τὰ ιε', μακρόβιος γενήσεται· ἔσται δὲ ἀνὴρ πολύμοχθος, ἐντροπικός· τὸν γονικὸν οἶκον ἐκφύγῃ· αἰσθητικὸς καὶ ἀκριβής, μανικὸς καὶ ὑβριστὴς καὶ ἀντίλογος, ἰδιόπεισμος, ὀξύς, θυμώδης· ὑπὸ γειτόνων πολλὰ λοιδωρηθήσεται, καὶ διὰ γυναικὸς καταπλακῇ· ὑπομενεῖ γυναῖκαν πρώτην θάψαι καὶ γαμήσει <ἑτέραν>· διαβάσει καὶ πόνον κρυπτόν· ἀπὸ ὕψους πέσει καὶ ἀπὸ ξίφους καὶ τετραπόδου πληγὴν ἕξει· ἐτῶν γ' ἀσθενήσει· πονέσει κοιλίαν καὶ στόμαχον· φυλασσέσθω ἑαυτὸν ἀπὸ ὄφεως· εἰς ἀλλοτρίαν χώραν ἀπέλθῃ καὶ πλανηθήσεται· πόνον κρυπτὸν πονέσει· μετὰ φθόνου κτήσεται βίον· γυναῖκα συνοικίσει καὶ ἄλλος αὐτὴν ἀγαπήσει· ξενιτεύσει καὶ ἀρρωστήσει διὰ τὸ εἶναι τὸ τοιοῦτον Ζῴδιον <πονηρόν>· ἐκ τῶν ἰδίων δυσκοληθῇ· αἱ ἀρρωστίαι αὐτοῦ ἐτῶν γ', ε', [καὶ] ιε', κε', [καὶ] λς', καὶ [μετὰ] ταῦτα διελθὼν ζήσει ἔτη ξη'· σημεῖον ἕξει [f. 522] εἰς τὸ στῆθος καὶ ἐπὶ κεφαλῆς καὶ ἐπὶ τῶν ὠτίων. ὅταν δὲ ἀρρωστήσει, λάμβανε τριῶν καρκίνων τοὺς πόδας καὶ καύσας ἕνωσον μετὰ ἐλαίου καὶ ἄλειφε· λειτούργει δὲ τοὺς ἁγίους Ἀναργύρους καὶ ἴασαι.

Ἡ γεννηθεῖσα κόρη ἐν καιρῷ Ζῳδίου τοῦ <Λέοντος> ἔνι ἐπίσημος, ἥμερος· ἐτῶν ε' ἀσθενήσει· μελιχρὰ ἔσται· ὁ βίος αὐτῆς ὁμαλός· φυλασσέσθω ἑαυτὴν ἀπὸ φιλονεικίας, ἵνα μὴ εἰς κακίαν ἐμπέσῃ· ἕξει συνάντημα καλόν· ἀπὸ ἀνέμων φόβον ἕξει καὶ εἰς τὸν ἄνδρα αὐτῆς πολλὰ λυπηθῇ, καὶ ὁ θεὸς βοηθεῖ αὐτήν· πονέσει δὲ καὶ τοὺς μαστούς· μύρια δὲ καλὰ αὐτὴν τοῖς ποιοῦσιν οὐ μὴ αὐτῶν εὐχαριστήσει· ἀχρείους ἔχουσα τοὺς ὀφθαλμοὺς αὐτῆς ἕνα χρόνον καὶ <ἕνα> μῆνα ἀσθενήσει· ἐὰν δὲ διαβάσει αὐτούς, γενήσεται πολυχρόνιος· ἔσται δὲ πεισματικὴ

1 ζητῶν cod., ζητοῦσα scripsimus. ἐπὶ κρυπτοῦ τόπου cod., ἐν κρυπτῷ τόπῳ scripsimus. 2 τραχία cod. 7 βαρέαν cod. 9 βαρύν cod., βαρύ scripsimus. 12 ἐκφύγει cod. ἐστοτικὸς κ. ἀκριβῶς cod. Fort. scribendum ἀκριβός. 13 ἰδιόπισμος cod. 14 καταπλακεῖ, ὑπομεῖναι cod. 15 ἑτέραν suppl. 17 αὐτόν cod. ὄφιν cod., ὄφεως scripsimus. 18 ἀπέλθει cod. ποιήσει cod., πονέσει scripsimus. 18-19 φθόνον cod., nos φθόνου et mox κτήσεται pro κτίσεται. 19 συνοικήσει cod. 20 πονηρόν suppl. Cf. p. 140, l. 16 in n. 21 δυσκολιθῇ cod. καί bis uncis inclusimus. 22 μετά uncis inclusimus. ἐπί cod., εἰς scripsimus. 23 τὸ ὠτίων cod. 26 Λέοντος suppl. ἔνει cod. 27 μελιχρή cod. 28 ἐμπέσει· ἔχει cod. 29 ἄνεμον cod., ἀναίμων coni. Kroll; sed cf. p. 168, l. 4. ἔχει cod. 30 λυπηθεῖ cod. μασθούς cod. 31 ἀχρίους cod. 32 ἕν cod., ἕνα scripsimus; tum alterum ἕνα dubitanter addidimus. 33 πισματικῇ cod.

πολυκρατοῦσα τὴν χολήν· εἰς τοὺς ἰδίους πικρὰ καὶ ἀκριβής· πρῶτον παιδὶν θάψει καὶ ἕτερον ἀναθρέψει· ἀρρωστίας ἕξει ἐτῶν β', ε', με', καὶ μετὰ ταῦτα ἐλθοῦσα ζήσει ἔτη ξγ'· σημεῖον ἕξει ἐπὶ τοῦ στήθους καὶ εἰς τὰς μασχάλας καὶ ἐν κρυπτῷ· ὅταν δὲ ἀρρωστήσει, λάμβανε τριῶν καρκίνων ἀκρώνυχα καύσας, καὶ θεῖον ἔλαιον ἕνωσον καὶ λίβανον καὶ ἄλειφε καλῶς· λειτούργει δὲ [f. 522v] καὶ τὴν ἁγίαν Αἰκατερίνην καὶ ἴασαι.

Ὁ γεννηθεὶς νεώτερος ἐν καιρῷ ζῳδίου τοῦ Ζυγοῦ ἔσται ἄνθρωπος εὐειδὴς ἔχων δύο ἀετοὺς ἐπὶ τῆς κεφαλῆς αὐτοῦ· ἔσται ἄοκνος καὶ ἰδιώτης· τὸ βάδισμα αὐτοῦ βλαβερόν· ἐὰν μάθῃ γράμματα, εἰς προκοπὴν μεγάλην ἔλθῃ· τὰ ἴδια δίδων [καὶ] μη<δὲν> καλοῦ λαμβάνει· ὑπὸ γυναίων θλιβῇ [καὶ] οὔτε παίζων οὔτε γελῶν ἐκ ψυχῆς· ἔσται δὲ ἀψὺς καὶ θυμώδης· ἀπὸ ξίφους λάβῃ <πληγήν>· ἀπὸ ὕψους πέσει καὶ κίνδυνον περιέλθῃ· μακρόθυμος, παρρησιαστικός, καὶ θλίψεται ὑπὸ γυναικὸς αὐτοῦ καὶ εἰς διγαμίαν ἔλθῃ· μετὰ γυναικὸς ἀκαταστατήσει· αἱ ἀσθένειαι αὐτοῦ ἐτῶν γ', ε', κς'· ταύτας διελθὼν ζήσει ἔτη πε'· σημεῖον ἕξει εἰς τὸ πρόσωπον καὶ εἰς τὸ στῆθος· τελευτήσει δὲ ἀπὸ πλευρίτιδος· ὅταν δὲ ἀσθενήσει, λάμβανε κρίθινον μετὰ ἐλαίου καὶ θεῖον λίβανον καὶ ἄλειφε· λειτούργει δὲ τὸν μέγαν Δημήτριον καὶ ἴασαι.

Ἡ γεννηθεῖσα κόρη ἐν καιρῷ ζῳδίου τοῦ Ζυγοῦ ἐτῶν ιβ' ἀσθενήσει· ἔσται ῥοδίνη, εὐπρόσωπος, εὐόφθαλμος, τὰ πάντα αὐτῆς παίζουσα καὶ γελῶσα, ἀλλότρια ἀγαπῶσα· εἰς πολλοὺς ἄνδρας [f. 523] λαληθήσεται καὶ οὐδὲ ἕνα λάβῃ καὶ εἰς τέλος λάβῃ· ἀλλότριον βίον φάγῃ καὶ κακοπαθήσει ἐκ νεότητος· διὰ τέκνον λυπηθήσεται· εἰς τὰ ζ' ἔτη ἀσθενήσει· τὸν ἄνδρα αὐτῆς θάψει καὶ μετ' ἀργίαν ἐπαρεῖ ἕτερον ἄνδρα καλόν· λοιδωρίαν αὐτῆς πολλὰ ἀκούσει· <ἐξ> ἐτῶν ιη' ἕως θανάτου [τελευτᾷ] μελεοπονέσει· φυλασσέσθω αὐτὴν ἀπὸ ἀστραπῆς καὶ βροντῆς· εἰς δικαστήριον ἔλθῃ <καὶ> τοὺς ἐχθροὺς αὐτῆς νικήσει· αἱ ἀσθένειαι αὐτῆς [ἀπὸ] ἐτῶν γ', κε' καὶ λς'· ταύτας διελθοῦσα ζήσει ἔτη π'· σημεῖον ἕξει ἐπὶ τραχήλου καὶ εἰς τὰς κνήμας· ὅταν ἀσθενήσει, λάμβανε ξύσμα ζυγοῦ καὶ λίβανον σὺν ἐλαίῳ καὶ ἄλειφε· λειτούργει δὲ τὴν ἁγίαν Ἀναστασίαν καὶ ἴασαι.

Ὁ γεννηθεὶς νεώτερος ἐν καιρῷ ζῳδίου τοῦ Καρκίνου ἔσται εὐόφθαλμος, εὐπρόσωπος, ξανθόθριξ, τῇ ἡλικίᾳ μεσαῖος, ἀγαπητικὸς

6 ἄληφε cod. 11 καί uncis inclus.; item l. seq. 12 γύναιον cod. πέζων cod. ἔστιν cod., ἔσται scripsimus. ἀψής cod. 13 λάβει cod. πληγήν suppl. 14 περιέλθει cod. παρησιαστικός cod. 16 ἔχει cod. 17 πλευρήτην cod., πλευρίτιδος scripsimus. Num πλευρίτης forma vulgaris? 18 κρίθινον] An κριθάλευρον ut p. 161, l. 23? 19 An ἅγιον Δημήτριον? Cf. *Catal. Venet.*, p. 214, l. 13. [Boll]. 22 ἀπὸ ἀλλοτρίων cod., ἀλλότρια scripsimus, ἀπό deleto. ἕως cod., εἰς dubitanter scripsimus. 23 οὐδὲ ἓν λάβει cod. καὶ εἰς] ἢ εἰς? 25 ἀργίας ἐπάρει cod. 26 ἀκούσῃ cod. ἐξ suppl. τελευτᾶ cod. uncis inclusimus. 27 μελοπονέσει cod. 28 καί suppl. ἡ ἀσθένεια cod. 29 ἀπό uncis inclusimus. ἔχει cod. 33 ἔστω cod., ἔσται scripsimus. 34 μεσέως cod.

ὑπὲρ πάντας καὶ ὑπὸ γυναικῶν· ἐτῶν η′ ἀσθενήσει καὶ ἔτη γ′ εἰς κίνδυνον ἔλθῃ ἕως ἐτῶν λ′· πολύμοχθος ἔσται ἐν τῇ νεότητι αὐτοῦ καὶ ὁ βίος αὐτοῦ οὔτε ἐκλείψει οὔτε πτωχεύσει· μητρὸς εὐχὴν κληρονομήσει καὶ ὑπὸ πολλῶν ἀγαπηθήσεται· ὑπὲρ φίλου τὴν ψυχὴν αὐτοῦ θήσει [f. 523ᵛ] καὶ οὐχ ἕξει εὐχαριστίαν· ἔσται ἐλεήμων, θεοσεβὴς καὶ φιλάνθρωπος· πολλοὶ δὲ φθονήσουσιν αὐτῷ, ἀλλὰ πάντας πατάξει· γυναῖκα καλὴν συνοικίσει καὶ θάψει αὐτήν, καὶ διὰ τέκνον λυπηθῇ· ἔσται δὲ καλόγνωμος· ἐν ἀρρωστίᾳ μεγάλῃ πεσὼν θάνατον οὐδὲν ἴδῃ· ἀπὸ λοιμικῆς εἰς κίνδυνον ἔλθῃ· νεφρὰ πονέσει καὶ ἀπὸ νεκρῶν φόβον διαβάσει· σημεῖον ἕξει ἐπὶ τοῦ στήθους· ἔσται δὲ ἔμψυχος, φρόνιμος, ἐπιδέξιος· ἐν δικαστηρίῳ ἄνθρωπος αὐτὸν οὐ μὴ νικήσει λόγῳ· ἀσθενήσει ἐτῶν ε′, ιβ′, ιε′, [καὶ] κδ′ <καὶ> μβ′· ταῦτα διελθὼν ζήσει ἔτη οβ′· ὅταν ἀσθενήσει, ἃς λειτούργει τὸν τίμιον Σταυρὸν καὶ ἴασαι.

Ἡ γεννηθεῖσα κόρη ἐν καιρῷ ζῳδίου τοῦ Καρκίνου ἔσται γυνὴ ἐπιδεξία, τολμηρά, οἰκονομική, θεοσεβής, μεγαλόφθαλμος· ἀκροχορδῶναν ἕξει ἐπὶ τοῦ τραχήλου ἢ τοῦ προσώπου· ἀρρωστήσει μῆνας ε′· ἀπὸ ζηλίας πολλὰ πάθῃ· εἰς τὴν πατρικὴν οἰκίαν ὑποστρέψει· ὁ νόσος αὐτῆς ἀπὸ κεφαλῆς καὶ ἀπὸ κοιλίας· ἀλλότρια οὐκ ἐπιθυμήσει· ἀπὸ φαρμάκου οὐ μὴ ἀναλωθῇ· γυνὴ κακὴ πολεμήσει αὐτῇ ἀπὸ ζηλίας· [καὶ] ἁρμοὺς πονέσει· ἔσται κάλλει προσχαρής· ἐτῶν κ′ ἄνδρα λάβῃ ἀπὸ χηρίας· ἔσται ἡ γυνὴ γλωσσώδης· ἐτῶν γ′ φεύξει τὰς ἀσθενείας· δι' ἄνδρα λυπηθῇ· ἐπὶ τέχνης [f. 524] εὐτυχήσει· σταυρὶν πονέσει, ὤμους καὶ ὀδόντας· πόδα [λάβῃ· παιδίον] κυλλωθήσεται· παιδίον ἀναθρέψει [καὶ κυλωθῇ αὐτὸ] καὶ λυπηθῇ· ἔσται εὐτυχής· εἰς οἰκίαν εὐχαριστηθῇ· ἐκ τῶν οἰκείων χωρισθῇ· ἀμετάδοτος, θλιβερὰν καρδίαν ἔχουσα· ὀφθαλμοὺς ἀπὸ ῥεύματος πονέσει· ἀκροχορδῶναν ἕξει ἐπὶ τοῦ τραχήλου ἢ τοῦ προσώπου· ἀσθενείας ἕξει ἐπὶ τῆς γεννήσεως αὐτῆς <καὶ ἐτῶν> ιγ′, ιη′ καὶ λβ′· ταύτας διελθοῦσα ζήσει ἔτη πε′· λειτούργει δὲ τὴν ἁγίαν Ἄνναν καὶ ἴασαι.

Ὁ γεννηθεὶς νεώτερος ἐν καιρῷ ζῳδίου τῆς Παρθένου ἐτῶν γ′ ἀσθενήσει καὶ ἐτῶν κε′ εὐτυχήσει· αὐτὸς δὲ ὑπό τινος μὴ ἐλεηθήσεται·

1 Ante ὑπό fort. supplendum ἀγαπηθήσεται. Cf. l. 4 et p. sq. l. 21. 2 ὄν cod., ἔσται scripsimus. 3 οὐκ ἐκλείψει cod. εὐχήν] Cf. p. 160, l. 11. 5 οὐκ ἔχει cod., οὐκ ἕξει scripsimus. θεοσεβείς cod. 6 πολλά et αὐτόν cod., nos πολλοί et αὐτῷ. πάντας πάντας cod., alterum πάντας delevimus. 7 λυπηθεῖ cod. 8 ἴδει cod. 9 λοιμικήν cod. 10 ἔχει cod. ἐπὶ τὸ στῆθος cod. ἔστι cod., nos ἔσται. 11 πιδέξιος cod. δεκαστηρίῳ cod. 12 Alterum καί delendum, alterum addendum putavimus. 13 ἀσθενεῖ cod., nos ἀσθενήσει. τίμιον σταυρόν] Cf. *Catal. Venet.*, p. 214, l. 5. 15 πιδέξια cod. τολμηρή cod. θεοσεβεῖς cod. 16 ἔχει cod. 17 οἰκονομίαν cod., οἰκίαν scripsimus. 18 ἐπὶ κεφαλῆς cod. 19 φάρμακος cod. αὐτήν cod., nos αὐτῇ. καί uncis inclusimus. 20 καλοπρόσχαρος cod. An leg. κάλλει πρόσχαρος? 21 φεύγει cod. 22 λυπηθεῖ cod. 23 κυλωθήσεται cod. Quae hic et l. seq. uncis inclusimus, dittographiae videntur. 24 ἔστω cod., ἔσται scripsimus. 25 θλιβερίν cod. 26 ἔχει cod. 27 ἀπό coni. Kroll. καὶ ἐτῶν suppl. 29 Ἄννα cod.

μελίχροος, καθάριος, αὐστηρός, ἁπλοῦς καὶ ξανθόμαλλος· τοῦ ἄρτου τοῦ καθημερινοῦ ἀδιάλειπτος· θαλασσίους καβόρους μὴ ἐσθιέτω· πονέσει ἁρμούς· ἀπὸ ὥρας κακῆς <καὶ> φρικιασμοῦ εἰς ἄλλην χώραν ἀπέλθῃ καὶ γενήσεται ὑποζύγιος ἀνθρώπῳ διὰ τὴν ὀρφανίαν αὐτοῦ· εἰς πόλιν μεγάλην ἔλθῃ καὶ ἱκανὰ πράγματα ἐμπιστευθῇ· ἀπὸ τετραπόδων κύλλωμα καὶ ἀπὸ σιδήρου φόνον ἕξει· ἐὰν μάθῃ τέχνην, εὐτυχήσει· ἔσται ἀνὴρ μεσόχροος, ἐπιδέξιος· † ἄκραν αὐτοῦ οὐχ εὑρήσει· κολακευτής· ἀπὸ ἀνθρώπων χάριν οὐ μὴ ἀπολάβῃ· γυνὴ αὐτὸν ἀγαπήσει καὶ οὐ κερδήσει· [f. 524v] εἰς τὴν πραγματίαν εὔτυχος· εἰς τὸ δανείζειν εὔκολος· ἄνθρωπος οὐ μὴ νικήσει· νεφρὰ πονέσει, ὤμους καὶ πόδας· λάβῃ ὅρκον· ζητήσει αὐτὸν γυνὴ ἐσχατωτέρα, ἀλλὰ πλουσιωτέρα· ὀδόντας ἀπὸ ῥεύσεως πονέσει· ἀσθενείας ἕξει [ἀπὸ γεννήσεως αὐτοῦ] ἐτῶν γ', ιβ', κβ' καὶ λς'· ταύτας διελθὼν ζήσει ἔτη οζ'· ὅταν ἀσθενήσει, ἂς λειτούργει τὴν ὑπεραγίαν δέσποιναν Θεοτόκον καὶ ἴασαι.

Ἡ γεννηθεῖσα κόρη ἐν καιρῷ Ζῳδίου τῆς Παρθένου ἔσται γυνὴ ἀνεσταλμένη, μεσότριχος, ἔχουσα αὐτὰς ξανθάς· καταπλακῇ ἀδίκως πολλά· φιληδὴς εἰς πολλοὺς ἄνδρας συνηθήσεται· σιτόχροος, εὔμορφος· ἐὰν ἐμβῇ εἰς πεντερικά, οὐ μὴ εὐχαριστηθῇ· φιλόξενος, ἀγαπητικὴ καὶ ἀπὸ τῆς γεννήσεως αὐτῆς· ἐὰν διέλθῃ γ' ἔτη καὶ ἀναπληρώσῃ τὰ ιβ', ἕξει ἡμέρας ἀγαθάς· ἔσται ὀξεία πρὸς ὥραν καὶ πάλιν γοργὸν στρεφομένη· περιχαρής, ἀγαπητική, καὶ ἀγαπηθήσεται ὑπὸ πάντων· εἰς τοὺς ἰδίους πικρά, εἰς δὲ τοὺς ξένους ἥμερος· γυνὴ κακὴ ζηλεύσει αὐτὴν καὶ κακοποιήσει αὐτήν· πονέσει μέλη καὶ ἁρμούς ... ἔσται γὰρ δειλή· εἰς μνήματα σκοτεινὰ μὴ περιπατήσει, ὅτι πάντοτε θλιβερὰν ψυχὴν ἔχει· ἂς φορεῖ φυλακτήριον θεοῦ· στέρνον καὶ μαστὸν πονέσει· θλιβερὰ καὶ ἀκατάδεκτος [f. 525] ὅρκον μετὰ ἀνδρὸς κτίσει· σταυρὶν καὶ ἁρμοὺς καὶ κεφαλὴν πονέσει· ἀπὸ κακοῦ ὀφθαλμοῦ ἀσθενείας ἕξει [ἀπὸ τῆς γεννήσεως αὐτῆς] ἐτῶν ιβ', κη' καὶ μβ'· ταύτας διελθοῦσα ζήσει ἔτη ογ', καὶ ὅταν ἀσθενήσει, ἂς λειτούργει τὴν ἁγίαν Ἀναστασίαν τὴν φαρμακολύτραν <καὶ ἴασαι>.

1 ξανθόμαλος cod. 3 ὥραν κακήν cod. καί suppl. 4 γένη cod., γενήσεται scripsimus. ἀνθρώπων cod. 5 τετράποδον cod. 6 κύλωμα cod. ἔστω cod., nos ἔσται. 7 κολακευθείς cod. 8 ἀνθρώπου cod. ἀποβάλη cod., ἀπολάβῃ scripsimus. 10 πονέσουν cod., πονέσει scripsimus; sic etiam infra. 11 Num αἰσχροτέρα pro ἐσχατωτέρα leg.? πλουσιότερος cod. 12 ἀπὸ - αὐτοῦ uncis inclusimus; item p. 166, l. 11 et p. 167, l. 2-3 et 30. 13 ἀσθενεῖ cod. 14 De s. Maria pro Virgine caelesti substituta, cf. Boll, *Sphaera*, p. 428 sq. 16 καταπλακεῖ cod. 17 φιλοηδής cod. σιτοχρόη, εὐμόρφη cod. 18 ἔμπει cod., ἐμβῇ scripsimus. εὐχαριστηθεῖ φιλοξένη cod. 20 ἥξει cod., nos ἕξει. ἔστω cod., ἔσται corr. ὀξέα cod. 22 πικρή et mox ἥμερι cod. ζελεύσει cod. 23 κακοποιήσει scripsimus pro ποιήσει cod. μέλους cod., nos μέλη. Mox lacunam indicavimus. ἔστι cod., ἔσται scripsimus. 24 περιπατεῖ cod. θλιβερήν cod. 25 θλιβερή cod. 27-28 ἀπὸ - αὐτῆς uncis inclusimus, et ita p. sq., l. 21. 29 ἀσθενεῖ cod. 30 καὶ ἴασαι suppl.

Ὁ γεννηθεὶς νεώτερος ἐν καιρῷ Ζῳδίου τοῦ Σκορπίου ἐτῶν γ' ἀσθενήσει, καὶ ἀπὸ κακοῦ ὀφθαλμοῦ ἔσται ὀκνηρός· [παραζηλεύσεται]· εἰς δὲ τὸν σπόρον εὐτυχήσει, εἰς δὲ τὰ κτήνη ζημίαν πάθῃ· τοὺς γονεῖς αὐτοῦ οὐ μὴ δουλεύσει· εἰς τοὺς φίλους ἁπλοῦς, τῇ δὲ τύχῃ μέσος· ἐτῶν κς' κίνδυνον διαβάσει· πολλῶν πραγμάτων κύριος ἀκουσθῇ· ἀπὸ πολλῶν ζηλευθήσεται καὶ ὁ θάνατος αὐτοῦ ἀπὸ τοῦ πλευροῦ ἔσται· χηρεύσει ἢ χωρισθῇ <ἀπὸ γυναικός>, καὶ μετὰ ἄλλης συνοικήσει· εἰς γυναῖκαν καταπλακῇ· νεφρὰ πονέσει καὶ πόδαν λάβῃ· ἔσται ἀνὴρ μελίξανθος, καλοπρόσωπος· ὅσον ἀνθρώπους ποιήσει καλόν, οὐ μὴ εὐχαριστηθῇ ἐξ αὐτῶν· ἐκ τῶν ἰδίων ζηλευθῇ καὶ ἀπὸ παίδων λυπηθῇ· ἀρρωστίας ἕξει [ἀπὸ τῆς γεννήσεως αὐτοῦ] ἐτῶν ε', [καὶ] ιβ' καὶ κη'· ταύτας διελθὼν ζήσει ἔτη ξη'· ὅταν δὲ ἀσθενήσει, λειτούργει τὸν ἅγιον Νικόλαον καὶ ἴασαι.

Ἡ γεννηθεῖσα κόρη ἐν καιρῷ Ζῳδίου τοῦ Σκορπίου ἔσται γυνὴ διορθουμένη τῷ σώματι· σημεῖον ἕξει ἐν τοῖς κρυ[f. 525v]πτοῖς μέλεσιν ἢ <ἐπὶ> τοῦ προσώπου· ἀσθενήσει πολλά, ἀλλ' οὐ μὴ ἀδικηθῇ· ἔσται ἰδιόπεισμος· ἁρμοὺς πονέσει ἀπὸ φρικιασμοῦ, καὶ ἂς φορεῖ φυλακτήριον θεοῦ· καλὸν οἶκον ἐξουσιάσει· ὑπὸ κυνῶν δαχθῇ· γυνὴ πολεμήσει αὐτὴν διὰ ζήλου καὶ καταπλακῇ ἀδίκως πολλά· στέρνα καὶ μαστὸν πονέσει· παιδία ἀποβάλλεται· ἀποθάνῃ σεμνὸν θάνατον· ἀπὸ πλευροῦ ἀσθενείας ἕξει [ἀπὸ γεννήσεως αὐτῆς] ἐτῶν γ', [καὶ] ια', [καὶ] ιγ' καὶ λγ'· ταύτας διελθοῦσα ζήσει ἔτη ογ'· ὅταν ἀσθενήσει, ἂς λειτούργει τὴν ἁγίαν Μαρίναν καὶ ἴασαι.

Ὁ γεννηθεὶς νεώτερος ἐν καιρῷ Ζῳδίου τοῦ Τοξότου τοὺς γονεῖς αὐτοῦ οὐ μὴ δουλεύσει· ἔσται σερπετός, κακοανάτροφος· ἀγαπηθήσεται ὑπὸ πολλῶν γυναικῶν· ἁπλοῦς καὶ καλόφιλος· νεφρὰ πονέσει καὶ πόδας· βλαβῇ ἀπὸ ξύλου· ἀπὸ ξίφου φόβον ἕξει· ἔσται εὔτυχος, ἀλλὰ εἰς τὰ κτήνη ζημίαν πάθῃ· εἰς πᾶσαν τέχνην ἀμαθής· στιβαρός, ἀλλὰ βαρύθυμος· εἰς δικάσιμον μὴ ἐμβαίνῃ καὶ <οὐ> ζημιωθῆται· φυλαττέσθω ἑαυτὸν ἀπὸ μάχης καὶ κύριος ἀκουσθῇ πολλῶν πραγμάτων· ἀπὸ μεγάλων ἀνθρώπων τιμηθῇ· διγαμήσει καὶ ξενιτεύσει, ἀλλὰ πάλιν εἰς τὰ ἴδια στραφῇ· [f. 526] παῖδαν μέγαν χάσει· ἔσται ἀνὴρ γοργός, τῇ δὲ τέχνῃ

2 ἔστω cod., nos ἔσται. παραζηλεύσεται forl. expungendum. 6 ἐστί cod., ἔσται scripsimus. 7 χηρεύσῃ cod. ἀπὸ γυναικός suppl. μετὰ ἄλλην συνοικίσει cod. 8 ἔστω cod., quod correximus. 9 ἀνθρώπων cod., ἀνθρώπους scripsimus. 10 εὐχαριστηθεῖ cod. ἀπὸ παῖδαν λυπηθεῖ cod. 11 καί uncis inclusimus. 12 ἀσθενεῖ cod., ἀσθενήσει corr. 13 Νικόλαον] Cf. *Catal. Venet.*, p. 214, l. 22. 14 ἔστω cod., ἔσται corr. 15 ἔχει cod., ἕξει scripsimus. 17 ἰδιόπισμος cod. 18 ἐξουσιάσῃ cod. κύων cod., κυνῶν scripsimus. 20 ἀποθάνει cod. 21 καί bis uncis inclusimus. 22 ἀσθενεῖ cod., nos ἀσθενήσει. 25 ἔστω cod. 26 ἁπλῶς cod., ἁπλοῦς dedimus. An ἁπλός scribendum? 27 λάβῃ cod. Cumont: βλαβῇ. ἔχει· ἔστω cod., ἕξει· ἔσται scripsimus. 28 ἀμαθεῖς cod. 29 ἐμπένει et ζημιοῦται cod. οὐ suppl. φύλαττε cod. 30 μάχην cod. 30-31 μέγαν ἄνθρωπον cod. 32 ἔστω cod.

μεσαῖος· ἀκροχορδῶνα ἕξει ἐπὶ τοῦ τραχήλου αὐτοῦ ἢ ἐν κρυπτῷ· κόκκαλον πονέσει· ἀπὸ δένδρου φόβον ἕξει· ἀρρωστίας ἕξει [ἀπὸ τῆς γεννήσεως αὐτοῦ] ἐτῶν ε', [καὶ] κε' καὶ λε'· ταύτας διελθὼν ζήσει ἔτη οε'· ὅταν ἀσθενήσει, ἂς λειτούργει τὸν ἅγιον Δημήτριον καὶ ἴασαι.

Ἡ γεννηθεῖσα κόρη ἐν καιρῷ ζῳδίου τοῦ Τοξότου τοὺς γονεῖς αὐτῆς οὐ μὴ δουλεύσει· ἔσται μικρὴ τῇ ἡλικίᾳ, ξανθόμαλλος, εὔρωστος, εὔτυχος, καματερή, γοργή· ἢ χηρεύσει ἢ <ἐκ> τοῦ ἀνδρὸς αὐτῆς χωρισθῇ· πρόσφιλος εἰς τοὺς ξένους, εἰς δὲ <τὰ> πράγματα ζημίαν πάθῃ· εἰς τοὺς ἰδίους πικρά· ἧπαρ <καὶ> σταυρὶν πονέσει· ἀπὸ εὐλογίας κίνδυνον διαβάσει· στέρνον καὶ μαστὸν πονέσει εἰς τὴν γένναν αὐτῆς· ἐὰν ἔχει ἀδελφούς, οὐκ ἐλεήσει αὐτούς· ἐκ τῶν ἰδίων χωρισθῇ· ἐὰν λάβῃ μικρὴ τὸν ἄνδραν, πολλὰ εὐτυχήσει· εἰς καλὸν παιδίον πολλὰ λυπηθήσεται· ἀκροχορδῶνα ἕξει ἐπὶ τοῦ προσώπου· εὔγνωστος καὶ πολυζώητος· ἀγαπήσει ἄνδρα εἰς τὸν νοῦν αὐτῆς καὶ οὐ λάβῃ αὐτόν· πονέσει καρδίαν καὶ στόμαχον· ἀσθενήσει ἐτῶν ε', [καὶ] ιβ', [καὶ] κγ', λβ' καὶ μ'· ταῦτα διελθοῦσα ζήσει ἔτη π'· ὅταν ἀσθενήσει, ἂς λειτούργει τὴν ἁγίαν Βαρβάραν καὶ ἴασαι.

Ὁ γεννηθεὶς νεώτερος ἐν καιρῷ ζῳδίου τοῦ Αἰγοκέρωτος ἀνὴρ ἐν[f. 526ᵛ]τροπικός· εἰς κτήματα πολλὰ ὠφελήσει· λάβῃ γυνὴν αὐστηρὰν [αὐτῆς] τῇ ὄψει καὶ τὴν οἰκίαν αὐτῆς ὠφελήσει· ἀνὴρ μεσοήλικος, σιτόχροος, ἐπιδέξιος, ἀνεσταλμένος· εἰς ξηρὰν πέτραν ἐὰν ἐπάγει † νὰ εὔγαλ... διάφορον· γοργός, ἀλλὰ καὶ μανιάρης <καὶ> βαρύθυμος· πονέσει μηροὺς καὶ ὀδόντας καὶ σπλῆναν· ζηλότυπος <ἔσται>· ἐλαίαν ἕξει ἐπὶ τοῦ τραχήλου καὶ ἐν κρυπτῷ· καυχώμενος ἀδιαλείπτως σίτου καὶ οἴνου καὶ ἐλαίου, καὶ ἄνομον βίον διορθώσει· ὀρφανίαν δουλεύσει, καὶ ἐὰν μάθῃ γράμματα, προκόψει, καὶ ὑπὸ μεγάλων ἀνθρώπων τιμηθῇ καὶ ὑπὸ κακῶν ζηλευθήσεται· νεφρὰ πονέσει καὶ κόκκαλον μουδιάσει· γυνὴν πρώτην θάψει ἢ χωρισθῇ, καὶ μετὰ ἄλλης συνοικήσει· λόγον μὴ δανείσει καὶ λάβῃ· ἀπὸ ζηλίας λυπηθῇ καὶ πάλιν αὐξήσει πλέον· ἀρρωστίας ἕξει [ἀπὸ τῆς γεννήσεως αὐτοῦ] ἐτῶν γ', [καὶ] ζ', ιε' καὶ κγ'· ταύτας διελθὼν ζήσει ἔτη ξη'· ὅταν δὲ ἀσθενήσει, ἂς λειτούργει τοὺς ἁγίους Ἀναργύρους καὶ ἴασαι.

Ἡ γεννηθεῖσα κόρη ἐν καιρῷ ζῳδίου τοῦ Αἰγοκέρωτος ἔσται

1 μεσέως cod. ἔχων cod., ἕξει scripsimus. τοῦ κρυπτοῦ cod., ἐν κρυπτῷ scripsimus. 2 κόκολον cod. 4 Δημήτριον] Cf. *Catal. Venet.*, p. 214, l. 13. 6 ξανθόμαλος cod. 6-7 εὔμοστοσύντυχος cod., εὔρωστος, εὔτυχος scripsimus dubitanter. 7 τὸν ἄνδρα cod., ἐκ τοῦ ἀνδρός scripsimus. 8 τά suppl. 9 πικρή· ὕπαρ cod. καί suppl. 10 στέρναν cod. 13 ἔχει cod., nos ἕξει. 15 καί bis uncis inclusimus. 19 γυνὴ αὐστηρί cod. Mox αὐτῆς delendum, nisi fallimur. 20-21 σιτόχρεος cod. 21-22 νὰ etc.] Verba corrupta, quae quid celent non capimus. 22 καί suppl. 23 μερούς cod. ἔσται suppl. ἔχει cod. 24 τοῦ κρυπτοῦ cod., ἐν κρυπτῷ scripsimus. ἀδιαλήπτως cod. 25 διωρθῶσαι cod. 27 κόκαλον cod. 28 Num pro λόγον leg. εἰς λόγον, immo εἰς τόκον? 29 λυπηθεῖ cod. 33 ἔστω cod.

εὐθαλὴς ταῖς θριξίν, εὔκολος, θλιβερὰν καρδίαν ἔχουσα, πάντεχνος· πρῶτον ἄνδρα χάσει καὶ μετὰ ἑτέρου συνοικήσει· καλὰ παι[f. 527]δία ποιήσει καὶ εἰς παιδὶν λυπηθῇ· ἔσται δὲ θλιβερά· στέρνον καὶ μαστὸν πονέσει· φυλαττέσθω ἑαυτὴν ἀπὸ μάχης καὶ ἀπὸ ἀνέμων ζάλης· παιδὶν ἀποβάλλεται· εἰς μνήματα σκοτεινὰ μὴ περιπατήσῃ· σταυρὶν πονέσει καὶ ὀδόντας· διγαμήσει· ἐλαίαν ἕξει ἐπὶ τοῦ τραχήλου ἢ τοῦ προσώπου· ὑπὸ μιᾶς γυναικὸς καὶ ὑπὸ γειτόνων λυπηθῇ ἀδίκως· κόκκαλον μουδιάσει· τὸν οἶκον αὐτῆς εὐτυχήσει· ἐν τῇ γενεᾷ αὐτῆς ἀποκλαύσονται αὐτήν· ἀρρωστήσει ἐτῶν η', ια', [καὶ] ις', [καὶ] κδ' καὶ λβ'· ταῦτα διελθοῦσα ζήσει ἔτη ο'· ὅταν ἀρρωστήσει, ἂς λειτούργει τὴν ἁγίαν Παρασκευὴν καὶ ἴασαι.

Ὁ γεννηθεὶς νεώτερος ἐν καιρῷ ζῳδίου τοῦ <Ὑδροχόου> ἐτῶν ζ' ἀσθενήσει καὶ ἕως ἐτῶν κ' ταράξει τὴν πατρικὴν οὐσίαν αὐτοῦ· τοὺς γονεῖς αὐτοῦ οὐ μὴ δουλεύσει· γυναῖκαν ἐπαρεῖ καὶ ἀποβάλλεται αὐτήν· ἀνὴρ μακρόθυμος, ἐννοητικός, ὀλιγόψυχος· ἐκ τῶν ἰδίων πολεμηθῇ· φυλαττέσθω ἑαυτὸν ἐκ τοῦ ὕψους καὶ τοῦ τρέχειν καὶ τοῦ πλέειν· ἐντίμῳ μὴ παραβουλεύσηται· εἰς πραγματίαν εὔτυχος, ἀνδρεῖος καὶ ἀνεσταλμένος, καὶ ὁ θεὸς πάντοτε οὐ μὴ ἐκλίπῃ ἀπ' αὐτοῦ· εἰς δικαιόσιμον μὴ ἐμβαίνῃ καὶ <οὐ> ζημιωθήσεται· ξενιτεύσει καὶ [f. 527v] πάλιν εἰς τὰ ἴδια στραφῇ· καλόφιλος, ἄθλιβος, φιλογύναιος· μυστήριον ἐκφεύξει· ἐτῶν μ' φεύξει τοὺς κινδύνους· ἧπαρ πονέσει· μεσόχροος, κολακευτής, εὔκαιρος, εἰς πᾶσαν τέχνην εὐμαθής· ὑπὸ κυνὸς δαχθῇ· σημεῖον ἕξει ἐπὶ τοῦ τραχήλου καὶ ἐν κρυπτῷ· ἔσται ἀνευχάριστος· ὀργισθῇ ὑπὸ γυναικός· ἀσθενήσει ἐτῶν γ' καὶ ιγ', καὶ ἐὰν διέλθῃ αὐτά, ζήσει ἔτη ξθ'· ὅταν ἀσθενήσει, ἂς λειτούργει τὸν ἅγιον Παντελεήμωνα <καὶ ἴασαι>.

Ἡ γεννηθεῖσα κόρη ἐν καιρῷ ζῳδίου τοῦ Ὑδροχόου ἔσται πάγκαλος τὸ πρόσωπον [αὐτῆς ἔστω], εὔχειλος καὶ ξανθόμαλλος· δυσχερίας ἕξει· ἐτῶν ε' πολλὰ ἀσθενήσει· ὅρκον μετὰ ἀνδρὸς κτίσει· ἄνδρα γλωσσώδη λάβῃ καὶ ἃ ἔχει χαώσει· εὔγνωστος τῇ ἡλικίᾳ· πόδαν κυλλωθήσεται· στέρνον καὶ μαστὸν πονέσει· ὑπὸ κυνὸς δαχθῇ· σημεῖον ἕξει ἐπὶ τοῦ τραχήλου ἢ μέσον τῶν δύο μαστῶν· ἐκ τῆς πρώτης ἡλικίας ἀγαπήσει <ἄνδρα> καὶ οὐ λάβῃ· καταπλακῇ ἀδίκως· πολλὰ ἀσθενήσει ἐτῶν ε' [καὶ] ς' καὶ κζ'· ταῦτα διελθοῦσα ζήσει ἔτη πε'· ὅταν ἀσθενήσει, ἂς λειτούργει τὴν ἁγίαν Κυριακὴν καὶ ἴασαι.

1 θλιβερήν cod. ἔχουσαν cod. 2 ἕτερον cod. 3 λυπηθεῖ et θλιβερή cod. πέρναν cod., στέρνον scripsimus, ut supra p. 167, l. 10 et inferius. 4 φύλαττε cod. μάχην cod. 7 μίας cod. λυπηθεῖ cod. κόκαλον cod. 12 Ὑδροχόου suppl. 14 δουλεύσῃ cod. ἐπαρεῖ] Cf. supra, p. 163, l. 25. 16 φύλαττε cod. 17 παραβουλεύεται cod. 19 οὐ suppl. 22 κολακευθείς cod. συκερός cod., εὔκαιρος scripsit Kroll. 23 τοῦ κρυπτοῦ cod. 26 καὶ ἴασαι suppl. 27-28 πάνκαλος cod. 28 αὐτῆς ἔστω ut delenda uncis inclusimus. εὔχαλη cod., εὔχειλος scripsimus. ξανθόμαλη cod. 30 καὶ τά cod., καὶ ἅ scripsimus. χαώσει] χάσει coni. Kroll, ut supra, l. 2. παῖδαν cod., πόδαν scripsimus. 32 μέσων cod. 33 ἄνδρα suppl. 34 ἀσθενεῖ cod.

Ὁ γεννηθεὶς νεώτερος ἐν καιρῷ Ζῳδίου τῶν Ἰχθύων γίνεται ἄνθρωπος ἰδιόπεισμος, γοργός, ψιθυριστής, ἀποδημητικός, [f. 528] φουμιστής, κολακευτής, πρόσφιλος εἰς τοὺς ξένους· εἰς δὲ πράγματα ζημίαν πάθῃ· εἰς τοὺς ἰδίους πικρός· ἧπαρ <καὶ> σταυρὶν πονέσει· γυναῖκα λάβῃ καὶ ἀπολέσει αὐτήν· πολλὰ ξενιτεύσει καὶ πάλιν εἰς τὰ ἴδια στραφῇ, εἶτα ἀποβάλλεται· ἀπὸ δένδρων φόβον ἕξει· ἀπὸ τετραπόδου κύλλωμα λάβῃ· πλευρὸν πονέσει· ἀσθενήσει ἐτῶν ε'· μερὶν μουδιάσει· στρατευθῇ· αὐλὴν βασιλικὴν πατήσει καὶ τιμηθῇ· εἰ δὲ καὶ μικρός, πατήσει ἀρχόντων· ἐὰν μάθῃ γράμματα, μεγάλως προκόψει· ἐλαίαν ἕξει ἐπὶ τοῦ προσώπου ἢ ἐπὶ τοῦ τραχήλου καὶ ἐν κρυπτῷ· αἱ ἡμέραι αὐτοῦ ἀγαθαί· εἰς τὸ τέλος αὐτοῦ ἐμπλησθήσεται οἴνου καὶ ἐλαίου καὶ σίτου· μυστήριον ἔξω τῆς ψυχῆς αὐτοῦ· μὴ θαρρείτω· [ἐὰν] εἴ τι καλὸν ποιήσει, εὐχαριστίαν οὐχ ἕξει· παρὰ κακῶν ἀνθρώπων πολλὰ ζηλευθήσεται· ἀνὴρ ἐλεημονητικός· εἰς δικαστήριον αὐτὸν οὐ μὴ νικήσουσιν, καὶ ὅσους κεράσῃ, ἐχθροὶ αὐτοῦ γίνονται· ἀρρωστίας ἕξει [ἀπὸ τῆς γεννήσεως αὐτοῦ] ἐτῶν γ', [καὶ] ιβ', ιε', [καὶ] κδ' καὶ λζ'· ταῦτα διελθὼν ζήσει ἔτη πδ'· ὅταν ἀσθενήσει, ἃς λειτούργει τὸν ἅγιον Γεώργιον καὶ ἴασαι.

Ἡ γεννηθεῖσα κόρη ἐν καιρῷ Ζῳδίου τῶν Ἰχθύων γίνεται κόρη διορθουμένη, πανφρόνιμος, μεσοήλικος, [f. 528v] ὑπορόδινος, εὐόφθαλμος· σημεῖον ἕξει ἐπὶ τῆς κεφαλῆς αὐτῆς καὶ τῆς ὄψεως· ὅλα τὰ καλὰ ἕξει· ἔσται πανφρόνιμος καὶ οὐδὲν πτοηθήσεται· παιδίον ποιήσει ἀγαθόν· πονέσει πρόσωπον καὶ κοιλίαν καὶ χεῖρας καὶ πόδας, καὶ ἄνδρα συνοικίσει· οἰκειόθελος καὶ διαμ... ἀγαθὰ παιδία ποιήσει ἀρσενικά· κίνδυνον μέγα διαβάσει ἐτῶν γ', [καὶ] ιζ' καὶ κγ'· φυλασσέσθω <ἑαυτὴν> ἀπὸ ὕδατος ψυχροῦ· ὁ γὰρ θάνατος αὐτῆς κοιλιακός· ὅταν ἀσθενήσει, λειτούργει τὸν ἅγιον Γρηγόριον καὶ ἴασαι. [D. B. et Æ. M.]

2 ἰδιόπισμος cod. γοργοψιθυριστής cod. 3 κολακευστής cod. 7 κύλωμα cod. μερήν cod., μερίν scripsimus. 9 Extr. litt. in μικρός incerta. Ceterum aliquid vid. desiderari. 12 ἐάν manifeste supervacaneum est. 13 ἔχει cod., nos ἕξει. καλῶν cod., κακῶν scripsimus. 22 ἔχουσα cod., ἕξει scripsimus. 25 ἑαυτήν suppl. 26 ὕδωρ ψυχρόν cod.

EXCERPTUM EX CODICE 20 (NEAPOL. II. C. 34)

F. 123ᵛ. Ἡ ἑρμηνεία τοῦ σεισμολογίου διὰ τῶν δώδεκα ζῳδίων [1].

Ἀπρίλιος. Ταύρῳ ἐὰν βροντήσῃ, σιτοφορίαν δηλοῖ κατὰ παντὸς τόπου· χαρὰ δὲ ἐν τῇ βασιλικῇ αὐλῇ καὶ εὐωχία, πρὸς ἀνατολὴν δὲ καὶ Ἄραψιν λιμὸς καὶ ἀλληλοσφαγία καὶ ἐκκοπὴ κακῶν βασιλέων· μαλακισμὸς καὶ νόσοι ὀλίγοι γενήσονται· τετραπόδων ἀπώλεια ἐν τῇ δύσει. εἰ δὲ σεισμὸς γένηται, καύματα μέγιστα καὶ συνοχαὶ γενήσονται.

[F. 124] Μάϊος. Διδύμοις ἐὰν βροντήσῃ, ἀγῶνα καὶ νόσον περὶ τοὺς ἄνδρας σημαίνει καὶ φθορὰν σίτου, ἀλόγων πολλῶν καὶ βοῶν ἀπώλειαν· σάλος περὶ τὴν ἤπειρον ἔσται· ὕστερον δὲ σπόρον ποιήσει καὶ περὶ τὴν οἰκουμένην ἔσται μετάθεσις καὶ ὀλίγου τόπου σύγχυσις καὶ ἑρπετῶν ἀπώλεια. εἰ δὲ καὶ σεισμὸς γένηται, ἀπώλεια ἔσται εἰς οἱανδήποτ' οὖν χώραν.

Ἰούνιος. Καρκίνῳ ἐὰν βροντήσῃ, ἄνεμοι ποικίλοι πνεύσουσι· διὸ καὶ τὰ γεννώμενα σῶα καὶ ὑγιῆ ἔσονται· σίτου καὶ κριθῆς πλῆθος γενήσεται· πρὸς δὲ ἀνατολὴν καὶ ὕστερον ἐν ξανθοῖς <γένεσι> ῥῖγος περίπλοκον γενήσεται καὶ θάνατος βοῶν, χειμὼν δὲ ἔνδοξος· ὀλίγοι δὲ καρποὶ ἔσονται καὶ ὄσπρια ὀλίγα, εὐφορία δὲ οἴνου, ἀπὸ δὲ τῆς βορεινῆς ἀπειλὴ καὶ ἡγεμόνος τινὸς ἐπιφάνεια. εἰ δὲ καὶ σεισμὸς γένηται, ἀπομερισμὸς ἀνδρῶν.

Ἰούλιος. Λέοντι ἐὰν βροντήσῃ, τῶν καρπῶν πάντων ἔσται φθορά, κατὰ δὲ τὴν δύσιν αἵρεσις καὶ βλασφημία, κινήσεις δὲ ἐχθρῶν· ψώρα δὲ γενήσεται [f. 124ᵛ] καὶ κνίσμα ἐκτρῶγον τοὺς ἀνθρώπους· κίνδυνοι δὲ

3 Ἀπρίλλιος cod. Ταῦρος et inferius Δίδυμος, Καρκίνος etc. cod.; Ταύρῳ, Διδύμοις, Καρκίνῳ etc. scripsimus. 5 Num leg. λοιμός? βασιλέως cod. 12 γενήσεται hic et p. 171, l. 17; γένηται scripsimus. 15 γενόμενα cod., nos γεννώμενα. σίτος cod., σίτου καὶ κριθῆς corr. Kroll. 16 ἐν] καί cod., ut vid. γένεσι suppl. coll. *Catal. Mediol.*, p. 25, l. 16–17 et al. loc. ib. ῥίγος περίπλοκος cod., quae suspecta videntur. 21 ψῶρα cod., φθορά scripsimus. 23 ἐκτρώγειν cod.

---

[1] Cf. *Catal. Mediol.*, p. 25–29 et supra, p. 128, excerptum ex cod. 18, f. 327ᵛ.

μεγάλοι γενήσονται κατὰ τῶν ἐνδόξων· ὀσπρίων δὲ ἀπώλεια γενήσεται καὶ ἐπὶ τὰ ἄγρια θηρία μανία καὶ μωρία. εἰ δὲ σεισμὸς γένηται, σοφοὶ ἀπολοῦνται.

Αὔγουστος. Παρθένῳ ἐὰν βροντήσῃ, φίλων βασιλέων ἀπώλεια, [ἀλλὰ] καὶ κατὰ τὴν ἤπειρον σάλος, καὶ οἱ πλέοντες ἐν τῇ δύσει κινδυνεύσουσι· εὐφορία δὲ σίτου καὶ κριθῆς καὶ ὀσπρίων, τὰ δὲ πετεινὰ τὰ ἐν τῷ ἀέρι φθαρήσονται· πάντα δὲ τὰ ἐπίγεια μέσα γενήσονται· πολλοὶ δὲ ἄνεμοι γενήσονται κατὰ τὴν θάλασσαν· ὄψιμος δὲ χειμὼν γενήσεται καὶ περὶ τοὺς ἀνθρώπους θάνατος. εἰ δὲ καὶ σεισμὸς γένηται, πολλῶν νοσημάτων φθορὰν σημαίνει.

Σεπτέμβριος. Ζυγῷ ἐὰν βροντήσῃ, πολέμους καὶ σφαγὰς πρὸς ἀλλήλους καὶ πλῆθος πληγῶν καὶ δεινῶν σημαίνει· ἔσται δὲ καὶ λιμὸς καὶ ἐπὶ τὰ ἄγρια θηρία, καὶ καρπῶν φθορὰν δηλοῖ· τὰ δὲ ὄσπρια πλείονα ἀπολοῦνται· ἔσονται δὲ περίδοξοι χειμῶνες ἀπὸ [δὲ] τῶν βορεινῶν καὶ νοτίων· κτηνῶν ἀπώλεια, ἀνδρῶν τε [f. 125] καὶ γυναικῶν φθορὰ καὶ τῆς οἰκουμένης μετάστασις· λιμὸς καὶ περίστασις καὶ τετραπόδων ἀπώλεια ὁμοίως καὶ ἑρπετῶν κοινῶν. εἰ δὲ σεισμὸς γένηται, θάνατος εἰς πάντας.

Ὀκτώβριος. Σκορπίῳ ἐὰν βροντήσῃ, ἀλληλοσφαγίαν σημαίνει· τὰ ὀρεινὰ ἀπολοῦνται· ἔνδοξοι δὲ χειμῶνες γενήσονται· καρπῶν δὲ φθορὰ ἔσται, καὶ τὰ πρὸς βορεινὴν ἐν μανίᾳ καταδραμοῦνται ἐπὶ παντὸς τόπου, καὶ ἑτέρα διαδοχὴ βασιλέως καὶ θάνατος καὶ περίστασις πρὸς ἀλλήλους ἔσται, καὶ νέφος ἐπιχυθῇ. εἰ δὲ καὶ σεισμὸς γένηται, χαρὰ πολλὴ καὶ ἐπιφορὰ ἀγαθῶν.

Νοέμβριος. Τοξότῃ ἐὰν βροντήσῃ, σάλος ἔσται ἐν τῇ χώρᾳ καὶ μετοίκησις ἐν τῇ ὀρεινῇ· τοῦ δὲ σίτου τῆς ὀρεινῆς καὶ πάντων τῶν καρπῶν φθορά· ἐν δὲ τοῖς πεδίοις εὐφορήσει ὁ καρπὸς ἅπας καὶ τετραπόδων ἐπὶ γοναῖς πάντων ἀπώλεια· χειμῶνες δὲ γενήσονται ὄψιμοι ἢ καὶ ἀκρίδες ἐπὶ πᾶσαν τὴν χῶραν· ἄστρον δὲ φαινόμενον τοῖς ἐπὶ θάλασσαν χαρὰ πάσῃ τῇ οἰκουμένῃ. εἰ δὲ σεισμὸς γένηται, [f. 125v] ποιμνίων φθορὰν σημαίνει.

Δεκέμβριος. Ὑδροχόῳ ἐὰν βροντήσῃ, πόλεμον δηλοῖ, <ἀλλὰ> χαρὰν παρὰ τὴν θάλασσαν· νόσοι δὲ καὶ μαλακισμοὶ εἰς τοὺς ἀνθρώπους, εὐφορία ὁμοίως σίτου καὶ κριθῆς καὶ τῶν λοιπῶν ὀσπρίων· πάνυ δὲ χειμῶνες ἔνδοξοι καὶ ποικίλοι γενήσονται, καὶ τὰ σπειρόμενα καὶ τὰ φυτευόμενα εὐφορήσουσιν· ἑρπετῶν ἀπώλεια, ἀνδρῶν δὲ παρὰ τὴν βασιλικὴν αὐλὴν ἐκ κλεπτῶν φθορὰ γενήσεται καὶ ἀκροδρύων

4 Num leg. φίλων τῶν βασιλέων vel φίλων βασιλείων? 5 ἀλλά uncis inclusimus. 12 πλήθη cod., πλῆθος scripsimus. δήμων cod., δεινῶν scripsimus dubitanter. λιμός cod. Num λοιμός? 13 ὄψιμα cod., ὄσπρια corr. Kroll. 15 νοτίων, sc. μερῶν vel χωρίων. 17 κοινῶν vix sanum. 21 τήν cod., τά scripsimus, sed fort. aliquid deest. 22 Num leg. βασιλέων? 28 ἐπιγοναί cod., ἐπὶ γοναῖς dubitanter scripsimus. Cumont : Legerem ἐπιγοναῖς. 32 ἀλλά suppl. 35 σπερόμενα cod.

ἀπώλεια, πολέμων δὲ κίνησις. εἰ δὲ σεισμὸς γένηται, φόβος καὶ στενοχωρία καὶ ἀρχόντων φυγή.

Ἰανουάριος. Ἰχθύσιν ἐὰν βροντήσῃ, σίτου εὐφορία κατὰ παντὸς τόπου γενήσεται· κίνδυνος δὲ καὶ ἀπώλεια ἀνθρώπων τῶν κατοικούντων ἐν τῇ πόλει... Cetera desiderantur. [D. B. et Æ. M.]

F. 125ᵛ. Ἑρμηνεία τοῦ βροντολογίου τοῦ μηνιαίου [1].

Μὴν ἰανουάριος ἔχει ἡμέρας λα', ἡ ἡμέρα ὥρας ι', ἡ νὺξ ὥρας ιδ'· ἐὰν βροντήσῃ, σῖτος ἔσται πολύς, καὶ κλαίοντες αὐτὸν δαπανήσουσιν· εἰ δὲ σεισμὸς γένηται, πόλεμον σημαίνει.

[F. 126] Μὴν φεβρουάριος ἔχει ἡμέρας κη', ἡ ἡμέρα ὥρας ια', ἡ νὺξ ὥρας ιγ'· ἐὰν βροντήσῃ ἐν ἡμέρᾳ, φθορὰν τετραπόδων δηλοῖ· εἰ δὲ σεισμὸς γένηται, ἰσχὺς ἔσται τοῖς λαοῖς· εἰ δὲ κεραυνὸς ἢ ὀμίχλη καὶ εἰς τὸν οὐρανὸν ἀπέλθῃ, ἀγαθὰ τοῖς καρποῖς δηλοῖ· ἐὰν δὲ ἦχος ἐκ τοῦ οὐρανοῦ γένηται, πτῶσις ἔσται καρπῶν.

Μὴν μάρτιος ἔχει ἡμέρας λα', ἡ ἡμέρα ὥρας ιβ', ἡ νὺξ ὥρας ιβ'· ἐὰν βροντήσῃ καὶ μὴ βρέξῃ, ἀποβολὴν ἀνθρώπων σημαίνει· ἐὰν δὲ ἡ Σελήνη αἱματώδης φανῇ, σῖτος ἔσται πολύς· ἐὰν δὲ σεισμὸς γένηται, σπέρματα πολλὰ γενήσονται, πόλεις δὲ καὶ παραθαλασσίαι κινδυνεύσουσιν· ἐὰν δὲ τὴν νύκτα ἀστὴρ εἰς τὴν γῆν πέσῃ, βασιλεὺς περὶ αὐτὴν διαφθαρήσεται· τῇ δὲ ἡμέρᾳ ἐὰν φανῶσιν ἀστέρες, κατασφαγὴ γενήσεται· εἰ δὲ καὶ σεισμὸς γένηται, πολέμου ταραχὰς καὶ ἐχθρῶν ἐπαναστάσεις σημαίνει.

Μὴν ἀπρίλιος ἔχει ἡμέρας λ', ἡ ἡμέρα ὥρας ιγ', ἡ νὺξ ὥρας ια'· ἐὰν βροντήσῃ, σῖτος ἔσται πολύς, καὶ κλαίοντες αὐτὸν δαπανήσουσιν· εἰ δὲ [f. 126ᵛ] σεισμὸς γένηται, πόλεμον δηλοῖ· πόλεις δὲ καὶ παραθαλασσίαι εὐφορήσουσιν· ἐὰν δὲ καὶ Σελήνη ἐκλείψῃ, ἀνθρώπων φθορὰν σημαίνει.

Μὴν μάϊος ἔχει ἡμέρας λα', ἡ ἡμέρα ὥρας ιδ', [καὶ] ἡ νὺξ ὥρας ι'· ἐὰν βροντήσῃ, ἀκαταστασίαν ἀνθρώπων δηλοῖ καὶ τοῦ κόσμου ταραχὴν καὶ φθορὰν τετραπόδων σημαίνει καὶ ἀνδρῶν δυναστῶν ἀναίρεσιν· εἰ δὲ σεισμὸς γένηται, λιμὸς κτηνῶν ἔσται καὶ ὑετοὶ σπάνιοι· ἐὰν δὲ τὸ φέγγος ἐκλείψῃ, λιμὸν σημαίνει· ἐὰν δὲ πρὸ τεσσάρων ἡμερῶν ἰανουαρίου σεισμὸς γένηται, ἀγαθὰ μετ' εἰρήνης σημαίνει.

3 Ἰαννουάριος cod., ut et inf. 6 τὸ μηναῖον cod. 19 Fort. leg. τῇ νυκτί. 19-20 βασιλεῖς περὶ αὐτῇ διαφθείρει cod., βασιλεὺς περὶ αὐτὴν διαφθαρήσεται scripsimus. 23 ἀπρίλλιος cod. 24 σίτος cod. 26 ἐκλείψει hic et infra, l. 32; ἐκλείψῃ scripsimus. 28 καί uncis inclusimus. 29 τὸν κόσμον cod., nos τοῦ κόσμου. 31 Num leg. λοιμός? 32 λιμών cod., λιμόν scripsimus. An λοιμόν?

---

[1] Cf. supra, p. 110 sq., Melampodis excerptum.

Μὴν ἰούνιος ἔχει ἡμέρας λ', ἡ ἡμέρα ὥρας ιε', ἡ νὺξ ὥρας θ'· ἐὰν βροντήσῃ, σίτου εὐφορία καὶ ἀνδρῶν δυναστῶν ἀπώλεια· εἰ δὲ σεισμὸς γένηται, μέγιστα καύματα γενήσονται· εἰ δὲ Σελήνη αἱματώδης φανῇ, σίτου διαφθορὰ ἔσται.

Μὴν ἰούλιος ἔχει ἡμέρας λα', ἡ ἡμέρα ὥρας ιδ', ἡ νὺξ ὥρας ι'· ἐὰν βροντήσῃ, χάλαζαν σημαίνει καὶ εὐφορία ἔσται καὶ μέγιστος ἀνὴρ τελευτήσει· εἰ δὲ σεισμὸς γένηται, θόρυβον ἀνθρώπων καὶ τυράννων ἀναίρεσιν δηλοῖ· ἐὰν [f. 127] δὲ ὀμίχλη εἰς τὴν γῆν πέσῃ, τοῦ ἡγουμένου ἀποστασία ἔσται· ἐὰν δὲ θύωνται τὰ κτήνη καὶ χολὴ εἰς αὐτὰ οὐχ εὑρίσκεται, λιμὸς ἀνθρώπων ἔσται.

Μὴν αὔγουστος ἔχει ἡμέρας λα', ἡ ἡμέρα ὥρας ιγ', ἡ νὺξ ὥρας ια'· ἐὰν βροντήσῃ, συμφορὰ ἔσται τῇ χώρᾳ διὰ πολλῶν θορύβων· εἰ δὲ ἀπὸ δυσμῶν βροντήσῃ... Finis desideratur. [D. B. et Æ. M.]

2 σίτος cod., nos σίτου. 3 γενήσον cod., γενήσονται correximus. αἱματωδίαν cod., nos αἱματώδης. 5 ἰούλλιος cod. 7 θόρηβον cod. 8 ὀμίχλυν cod. 9 ἀποστασίαν cod. 10 An leg. λοιμός?

EXCERPTUM EX CODICE 24 (Neapol. III. C. 20)

Vetti Valentis de coniunctionibus binorum planetarum.

Codex Valentis Neapolit. ex cod. Ven. 3 [Marc. 314, f. 256 sqq.] non videtur esse descriptus. Quamquam enim discrepantiae, quas cum in hoc tum in aliis capitulis, quae passim contulimus, inter utrumque deprehendere contigit, haud magni momenti sunt, tamen et notabiliores et crebriores comparent, quam ut iure librario tribuere liceat[1], ei praesertim qui in toto opere perficiendo et accuratum et non indoctum se praebuerit. Utut se res habet, hanc operis particulam, quam ipse (cf. *Catal. Ven.* [p. 84 sqq.], p. 106), praetermisit, tamquam specimen codicis nondum explorati nobis vulgandam demandavit Franc. Cumont, qui nobiscum etiam humanissime communicavit apographum cod. Veneti, quod in suum usum paraverat. — Idem capitulum sine auctoris nomine in cod. Vatic. 1066, f. 26, traditur.

[F. 219]. Ὑποτάξωμεν δὲ καὶ τὰς συμπαρουσίας καὶ συγκράσεις ἑκάστου ἀστέρος. Κρόνος μὲν οὖν καὶ Ζεὺς ὁμόσε ὑπάρχοντες συμπαθεῖς εἰσι πρὸς ἀλλήλους ἀποτελοῦντες ὠφελείας ἐκ νεκρικῶν, εἰσποιήσεις, ἐγγείων κτημάτων κυρίους, ἐπιτρόπους, ἀλλοτρίων διοικητάς, οἰκονομικούς, φιλολόγους.

Κρόνος μὲν οὖν καὶ Ἄρης ἐχθροί, ἐναντιωμάτων καὶ καθαιρέσεων ποιητικοί· στάσεις γὰρ οἰκείων καὶ ἀνευνοησίας καὶ ἔχθρας ἐπάγουσι, δόλους καὶ ἐπιβουλὰς καὶ κακοποιίας καὶ κρίσεις, ἐκτὸς εἰ μὴ <ἐν> οἰκείοις ἢ χρηματιστικοῖς ζῳδίοις πεσόντες καὶ ὑπὸ ἀγαθοποιῶν μαρτυρηθέντες ἐπισήμους καὶ λαμπρὰς γενέσεις κατασκευάσωσιν, ἀβεβαίους δὲ περὶ τὴν [219v] εὐδαιμονίαν καὶ ἀδοκήτους κινδύνους ἢ προδοσίας.

Κρόνος μὲν οὖν καὶ Ἑρμῆς σύμφωνοι καὶ πρακτικοί, πλὴν δια-

1 In marg. *Coniunctiones planetarum.* 2 Cf. excerpta Valentis in *Catal. Ven.*, p. 161 sqq. 4 ἐγγέων codd., ἐγγείων scripsimus. 6 Cf. op. cit., p. 162, l. 15 sqq. 7 ἄνευ νοησίας N, ἀνευνοησίας scripsimus, ut legitur in cod. V(eneto). 8 ἐν suppl. Kroll. 10 ἀβεσβαίους N, sed corr. eadem m. 12 Cf. op. cit., p. 163, l. 20 sqq.

---

[1] Collationis specimen in calce huius excerpti praebemus.

βολὰς ἐπάγουσιν ἕνεκεν μυστικῶν, κρίσεις καὶ χρεωστίας, γραπτῶν τε καὶ ἀργυρικῶν χάριν ταραχάς· οὐκ ἀπόρους δὲ οὐδὲ ἀσυνέτους, πολυπείρους καὶ πολυΐστορας ἢ προγνωστικούς, φιλομαθεῖς, περιέργους, ἀποκρύφων μύστας, εὐσεβοῦντας εἰς τὸ θεῖον, δυσσυνειδήτους.

Κρόνος μὲν οὖν καὶ Ἀφροδίτη σύμφωνοι περὶ τὰς πράξεις, εὐεπίβολοι περὶ τὰς πλοκὰς καὶ τὰς συναρμογάς, συμπαθεῖς καὶ ὠφέλιμοι οὐ μέχρι τέλους, ἀλλ' ἐπί τινας χρόνους, εἶθ' οὕτως ψόγους, χωρισμοὺς καὶ ἀστασίας ἢ θανάτους ἀποτελοῦσι· πολλάκις δὲ καὶ ἀγενέσιν ἢ καὶ δημοσίαις τὰς ἐπιπλοκὰς ποιουμένους καὶ βλάβαις ἢ κρίσεσι περιπίπτοντας.

Κρόνος μὲν οὖν καὶ Σελήνη ὠφέλιμοι, περιποιητικοὶ κτημάτων, θεμελίων, ναυκληρίας καὶ ἐκ θανατικῶν εὐεργετικοί, μάλιστα ἐπὰν ἡ Σελήνη τὸν ἐξ ἀνατολῆς δρόμον ποιουμένη τύχῃ καὶ ὑπὸ ἀγαθοποιῶν μαρτυρῆται· μειζόνων γὰρ συστάσεις καὶ δωρεὰς καὶ ἐχθρῶν καθαιρέσεις ἀποτελεῖ, πλὴν ἀβεβαίους τῇ κτήσει, εἰς δὲ τὸν περὶ γυναικὸς τόπον ἀστάτους καὶ ἐπιλύπους διά τινας χωρισμοὺς καὶ μίση καὶ πένθη· ἐπάγουσι δὲ καὶ σωματικὰ πάθη καὶ καταπτώσεις αἰφνιδίους καὶ ἡγεμονικῶν τόπων ἢ νεύρων ἀλγήσεις καὶ ἀναγκαίων προσώπων θανάτους.

Κρόνος μὲν οὖν καὶ Ἥλιος ἀσύμφωνοι, μετὰ φθόνων τὰς κτήσεις καὶ τὰς φιλίας παρεχόμενοι καὶ ἀφαιρούμενοι· ὅθεν <οἱ> ὑπὸ τὴν τοιαύτην στάσιν γεννηθέντες ἔχθρας λαθραίας πρὸς μείζονα πρόσωπα <καὶ> ἀπειλὰς ὑπομένοντες καὶ ὑπό τινων ἐπιβουλεύονται καὶ ἐπιφθόνως μέχρι τέλους τὸν βίον διάξουσιν· ὑποκριτικῶς δὲ φερόμενοι τῶν πλείστων περιγίνονται· πλὴν οὐκ ἄποροι καθίστανται, ἐπιτάραχοι δὲ καὶ ἀνεξίκακοι, ἐγκρατεῖς περὶ τὰς τῶν αἰτίων ἐπιφοράς.

Ζεὺς καὶ Ἥλιος ὁμόσε ἰόντες λαμπρούς, ἐπιδόξους ἀποτελοῦσιν, [f. 220] ἀρχικούς, ἡγεμονικούς, τυραννικούς, παρεκτικούς, ὑπὸ ὄχλων τιμωμένους καὶ εὐφημουμένους, εὐπόρους δὲ καὶ πλουσίους καὶ μετὰ πλείστης φαντασίας διεξάγοντας, πλὴν κατά τινας χρόνους ἐν ἀνωμαλίᾳ καὶ φθόνοις, καὶ μάλιστα, ἐὰν καὶ ὁ ἀστὴρ ὑπὸ δύσιν εὑρεθῇ, φαντασίαις μείζοσι περιτρέψας οἴησιν ἀληθείας ἀπεργάζεται.

Ζεὺς καὶ Σελήνη ἀγαθοί, περικτητικοί, κόσμου καὶ σωμάτων δεσπότας ἀποτελοῦντες καὶ ἀρχὰς ἐπισήμους παρεχόμενοι ἔκ τε γυναικῶν καὶ ἐπισήμων προσώπων ὠφελουμένους, ἀπὸ οἰκείων ἢ τέκνων εὐεργετουμένους καὶ δωρεῶν ἢ καὶ τιμῶν καταξιουμένους, χρηματο-

6 Cf. op. cit., p. 163, l. 11 sqq. 7 Fort. ante συμπαθεῖς add. ἐν ταῖς γυναιξί, ut ibid. l. 12. 10 ἀγένεσιν V, ἀγένέσιν (*sic*) N. δημοσιαίως (ut vid.) V; " ducunt ancillas publicas uxores " Kroll. 12 Cf. op. cit., p. 163, l. 32 sqq. 17 τρόπον codd., corr. Kroll. 21 Cf. op. cit., p. 162, l. 33 sqq. Num pro φθόνων leg. φθόνου, ut ibid., l. 33? 22 οἱ suppl. 24 καί suppl. ex op. cit., p. 163, l. 1. ὑπομένοντας codd., ὑπομένοντες scripsimus. 27 Num τῶν αἰτιῶν? 32 An ὁ Ἑρμοῦ ἀστήρ? At cf. p. sq., l. 25.

φύλακας ἢ πολλὰ δανειστικοὺς ἢ πιστευομένους καὶ θησαυρῶν εὑρετὰς εὐχρηματίστους.

Ζεὺς <καὶ> Ἄρης ἐπιδόξους, φαντασιώδεις, μειζόνων ἢ βασιλέων φίλους, στρατιωτικούς, ἐπισήμους καὶ ὀψωνίων μετόχους, ἐν δημοσίοις ἢ στρατιωτικοῖς τὰς ἀναστροφὰς ποιουμένους καὶ τιμῆς καὶ δόξης καταξιουμένους, ἀνωμάλους δὲ τῷ βίῳ καὶ τῷ ἤθει καὶ τῶν κτισθέντων ἀποβολὰς ποιουμένους.

Ζεὺς καὶ Ἀφροδίτη ἀγαθοί, σύμφωνοι, περιποιητικοί, δόξας καὶ ὠφελείας ἐπάγοντες, ἐπικτήσεις, δωρεάς, κόσμους σωμάτων, δεσποτείας, τέκνων γονάς, ἀρχιεροσύνας, προστασίας ὄχλων, στεμματηφορίας, χρυσοφορίας, ἀνδριάντων καὶ εἰκόνων καταξιουμένους, ἀνωμάλους δὲ περὶ γάμους καὶ τέκνα ἀποτελοῦσιν.

Ζεὺς καὶ Ἑρμῆς ἀγαθοί, σύμφωνοι, διοικητικοὶ πραγμάτων, οἰκονόμους ἀποτελοῦντες, ἔν τε πίστεσι καὶ χειρισμοῖς γινομένους ἐπιτροπικούς, ἀπὸ λόγων ἢ ψήφων ἀναγομένους καὶ ἐν παιδείαις δοξαζομένους, πολυφίλους δὲ καὶ εὐσυστάτους, μισθῶν καὶ ὀψωνίων καταξιουμένους· ἐὰν δέ πως καὶ ἐν χρηματιστικοῖς ζῳδίοις εὑρεθῶσι, καὶ θησαυρῶν εὑρετὰς ποιοῦσιν ἢ ἐκ παραθηκῶν ὠφελουμένους, δανειστικούς.

Ἀφροδίτη καὶ Ἥλιος σύμφωνοι καὶ ἐπίδοξοι καὶ ἀγαθῶν δοτῆρες, συστάσεις ἀρρενικῶν καὶ [f. 220v] θηλυκῶν ἐπάγοντες, δωρεάς τε καὶ καταγραφὰς καὶ περὶ τὰς ἐπιβολὰς εὐεπιτεύκτους· ἔσθ᾽ ὅτε μὲν οὖν καὶ προστασίας ἀναλαμβάνοντας ὀχλικὰς ἢ πίστεις καὶ ἑτέρων τόπων προεστῶτας καὶ ὀψωνίων καταξιουμένους, εἰς δὲ τὸν περὶ γυναικὸς καὶ τέκνων τόπον οὐκ ἀλύπους, καὶ μάλιστα ἐὰν ὑπὸ δύσιν τύχῃ ὁ ἀστήρ.

Ἀφροδίτη καὶ Σελήνη ἀγαθοὶ μὲν περὶ τὰς δόξας καὶ τὰς περικτήσεις καὶ περὶ τὰς τῶν πραγμάτων ἀφορμάς· περὶ δὲ τὰς συμβιώσεις καὶ φιλίας καὶ συναρμογὰς ἄστατοι, ἀντιζηλίας καὶ ἔχθρας ἐπιφέροντες καὶ συγγενικῶν ἢ φίλων κακουργίας ἢ ταραχάς· ὁμοίως δὲ καὶ εἰς τὸν περὶ τέκνων ἢ σωμάτων τόπον οὐκ ἀγαθοί, ἀπαραμόνους τε τὰς κτήσεις παρεχόμενοι καὶ ψυχικὰς ἀνοίας ἐπάγοντες.

Ἀφροδίτη καὶ Ἄρης ἀσύμφωνοι· ἀστάτους γὰρ ταῖς γνώμαις καὶ ἀκρατεῖς ἀποτελοῦσι, ζηλοτύπους δὲ καὶ αὐτόχειρας, πολυφίλους δὲ ἢ ἐπιψόγους, αἰσχρούς, εὐμετανοήτους καὶ ἀδιαφόρους ταῖς μίξεσιν ἀρρενικῶν τε καὶ θηλυκῶν, κακουργίας ἢ φαρμακείας ἐπιβόλους, οὔτε τοῖς καλοῖς οὔτε τοῖς φαύλοις ἐπιμένοντας, οὔτε περὶ τὰς φιλίας διαβαλλομένους καὶ κακολογουμένους, δαπάνους, ἀκροθιγεῖς περὶ τὰς πράξεις καὶ πολλῶν ἐπιθυμητάς, ὑπὸ θηλυκῶν ἀδικουμένους ἢ καὶ τούτων χάριν κρίσεις καὶ ταραχὰς καὶ χρεωστίας ὑπομένοντας.

3 καί suppl. 7 An κτηθέντων? Kroll. 8 Cf. op. cit., p. 170, l. 18 sqq. 11 ἀδριάντων V. 13 Cf. op. cit., p. 170, l. 27 sqq. 22 εὐεπιτέκτους codd., corr. Boll. 32 Cf. op. cit., p. 174, l. 12 sqq. 37 εὐδαπάνους vel πολυδαπάνους coni. Kroll. 39 ὑπομένοντες codd.

Ἀφροδίτη καὶ Ἑρμῆς σύμφωνοι· εὐομίλους γὰρ καὶ ἐπιχαρεῖς ποιοῦσι, φιλοφίλους τε καὶ φιληδόνους καὶ περὶ παιδείαν καὶ σωφροσύνην τὸν νοῦν ἔχοντας καὶ τιμὰς καὶ δωρεὰς λαμβάνοντας· τοῖς δὲ ἐν μετρίᾳ τύχῃ καθεστηκόσι λήψεις καὶ ἀγορασμοὺς καὶ συναλλαγὰς ἀποτελοῦσι καὶ ἐπ' αἰσχρὸν βίον μερίζουσιν· εἰς δὲ τὸν περὶ γυναικὸς τόπον ἀστάτους καὶ ἀδιαφόρους καὶ εὐμετανοήτους περὶ τὰς συμβολάς.

Ἑρμῆς καὶ Ἥλιος πολυφίλους καὶ ὑποκριτικοὺς ποιοῦσι, ποικίλους δὲ καὶ ἐγκρατεῖς καὶ ἐν δημοσίοις τόποις τὰς ἀναστροφὰς ἔχοντας, [f. 221] καθαρίους, περισσόφρονας, κριτικούς, καλῶν ἐραστάς, πολυΐστορας, μύστας θείων, εὐεργετικούς, φιλοσυνήθεις, αὐτάρκεις, θρασυδείλους, γενναίους, τὰ καταπίπτοντα φέροντας, δυσεπιτεύκτους καὶ ἀνωμάλους περὶ τὸν βίον, ἐν ὑψοταπεινώμασι γινομένους, οὐκ ἀπόρους, ἀναβιβάζοντας δὲ κατὰ <τὴν> τῆς γενέσεως ὑπόστασιν.

Ἑρμῆς καὶ Σελήνη ἀγαθοὶ περὶ τὰς συστάσεις καὶ δόξας ἀρρενικῶν τε καὶ θηλυκῶν καὶ περὶ τὴν τοῦ λόγου καὶ παιδείας δύναμιν καὶ περὶ τὰς λοιπὰς ἐγχειρήσεις καὶ συναλλαγάς, κοινωνικοὺς καὶ μηχανικοὺς καὶ πολυπείρους καὶ περιέργους ἀποτελοῦσι καὶ ἀπὸ μειζόνων τελῶν προβιβαζομένους, πολυκινήτους καὶ ἀνεπιμόνους ταῖς πράξεσιν ἢ ταῖς γνώμαις πρὸς τὸ μέλλον, γενναίους πρὸς τὰ φαῦλα, ἀνωμάλους δὲ καὶ περὶ τὸν βίον.

Ἑρμῆς καὶ Ἄρης οὐκ ἀγαθοί· ἔχθρας, κρίσεις, ἐναντιώματα, κακοτροπίας, προδοσίας ἀποτελοῦντες ἀπό τε κρειττόνων ἢ ὑποτακτικῶν ἀδικουμένους, τινὰς μὲν οὖν ἀθλητικούς, στρατιωτικοὺς ἢ καθηγεμόνας, εὐεργετικούς, περιέργους, ποικίλως τὸν βίον περιερχομένους. γίνονται δὲ ἐν πλαστογραφίαις νοσφισμῶν, ἁρπαγῆς, συλήσεως χάριν· ἐγγύαις τε καὶ δάνεσι περιπίπτοντες περιβοησίας ἢ κρυβὰς ἀναδέχονται· ἐὰν δέ πως τὸ σχῆμα κακωθῇ, ἐν αἰτίαις γενόμενοι ἢ συνοχαῖς τῶν κτηθέντων ἀποβολὰς ἢ ἀφαιρέσεις ὑπομένουσιν.

Ἥλιος καὶ Σελήνη ἀγαθοί· συστάσεις γὰρ μειζόνων καὶ δόξας περιποιοῦσι κτήσεις τε θεμελίων καὶ κτημάτων καὶ χρημάτων καὶ κόσμου καὶ πρὸς τὰς ἐπιβολὰς τῶν πραγμάτων εὐεπιτεύκτους καὶ ἐπωφελεῖς· ἐὰν δὲ ὑπόστασις μεγάλη εὑρεθῇ, γίνονται ἀρχικοὶ πόλεων, πραγμάτων προϊστάμενοι, ὄχλων προεστῶτες, εὐφαντασιώτατοι, δωρηματικοί, ἡγεμονικοί, τυραννικοί, ἀνυπότακτοι, βασιλικὸν κτῆμα κεκτημένοι ἢ ἀπὸ μετρίας τύχης ἀναβιβαζόμενοι, καὶ εὐδαίμονες γινόμενοι μακαρίζονται· πλὴν [f. 221v] ἀνεπίμονον τὸ ἀγαθὸν τοῖς τοιούτοις ὑπάρχει διὰ τὸ τῆς Σελήνης μειωτικὸν σχῆμα. [D. B. et Æ. M.]

1 Cf. op. cit., p. 177, l. 24 sqq. 3 τιμῶν codd., τιμὰς corr. Cumont. 5 ἐπ' αἰσ. β. μερίζουσιν vix sanum. 7 Cf. op. cit., p. 176, l. 22 sqq. 11 Fort. leg. γενναίως τὰ καταπίπτοντα φέροντας. 13 τήν suppl. Cumont. 14 Cf. op. cit., p. 179, l. 10 sqq. 23 τινάς N, τιμάς V. 26 περιπίπτοντας codd., περιπίπτοντες scripsimus. 35 ὑπό codd., ἀπό corr. Kroll.

Specimen codicis Neapolitani cum Veneto collati[1]

	V	N
89, 3	κιριεύει	κυριεύει.
9	Lac. 4 litt. ante πρόσωπον	Nullum lac. indicium.
16	ἡμερινῆς	ἡμερινῆς, sed marg. al. m. corr. νυκτερινῆς.
17	βασκάνους	βασκάνους πολυμερίμνους.
21	πλαστικούς	πλευστικούς.
22	ἐγκοπάς	ἐκκοπάς.
29	μολύβδου	μολίβδου.
37	στυφός	στύφος.
90, 7	τοῦ δέ	τῶν δέ ead. m. ut vid. corr.
16	συλλήσεις sed alt. λ eras.	συλήσεις.
30	ἐστί	ἔστη.
37	χρυσονήτας	κρυσονήστας.
91, 3	ἀγορονομίας	ἀγορανομίας.
5	ὠφελίας	ὠφελείας.
11	ἐνλιποτάτη	ἐνλειποτάτη, corr. ἐνλιποτάτη.
13	ἐμπορείαν	εὐπορείαν.
33	καὶ δορυφορίας	καί deest.
92, 7	ἐπιτόπως	ἐπιτόμως.
93, 18	μελεοκοπούμενον	μελοκοπούμενον.
19	οὖτο	οὗ τό.
	εὐδινόν	εὐδινός.
28	Δήμητρος ἔστι	Δήμητρός ἐστιν.
94, 6	εὐματάδοτοι	εὐμετάδοτοι corr. ex εὐματάδοτοι, ut vid.
9	πορφύρας	Syllaba πορ add. sup. l. al. m.
18	φῶνα	φωνα, tum lac. 20-22 litt.
94, 22	κακῶν	καλῶν.
28	εὔυγρα	ἔνυγρα.
29	εὔυγρα	ἔνυγρα.
32	τῶν νοτίων	τῶν^{ὁ} (*sic*) ead. m., ut vid., et νότιον ex νοτίων.
95, 1	αὐτούς	αὐτοῦ.
	τῶν ἡμῶν	τὸν ἡμῶν.
9	στῆθος	στῆφος.
11	Καρκίνος	Ὁ καρκίνος.
19	δοῦλον	δῆλον.
20	εὐματάβολον	εὐμ^{ε}ατάβολον (*sic*, al. m.?)
26	ἐστί	ἔστι δέ.
30	Ἀρμενία	ἁρμονία.
96, 10	εὔυγρα	ἔνυγρα.
18	δέ ἐστι	δύεται.
27	σχῆμα δίκ(ην)	σχῆμα δίκης.
97, 7	ἐν υψοτάπεινώματι γινόμενοι	ἐνυψοταπεινόμοι γινόμενοι.
15	δισοίδιοι	δι σοῖδιοι.
27	οἱ	οἱ δέ.
98, 1	Ἀφρ. Σελήνη	Σελ. deest.
2	οὐκ	δὲ οὐκ.
3	Αἰγόκερῳ	ὔχ (*sic*).
12	σκληραγωγίας	κληραγωγίας.
19	Ἀνδρομέδας	Ἀνδρομίδας.
29	ἄχρι Σεβεννύτου	ἄχρις ἐβεννύτου.
33	Οἰστός	ὁ ἱστός.
99, 22	ἐκ τῶν	ἐκ δὲ τῶν.
24	Ὀρθοῦ δρμου	Ὀρθὸς δρμος.
25	πρόσκειται	πρόσκεινται.
27	ἔτι δέ	ἔστι δέ.
100, 2	δυεῖν	δυοῖν.
8	Post οὐρά lac. circ. 18 litt.	Lac. 8-9 litt.
9	ἀπηλιώτου	ἀπηλιώτην.

[1] Lectiones omisimus, quae in utroque cod. concinunt. Prima littera cuiusque paragraphi, quae in V deest, in N rubrica notata est.

EXCERPTUM EX CODICE 31 (Laur. LXXXVI, 18)

Vetti Valentis excerptum de signis zodiaci.

Sensim ad absolutam codicum Valentis notitiam progredimur. Supra (p. 174) de libro Neapolitano, qui arctissime cum Veneto 3 coniunctus est, egerunt socii nostri Italici, nunc de duobus Laurentianis, quorum alterum in *Catalogo Florentino* non agnovimus, alterum omnino omisimus, re melius explorata paucis verbis disputandum est. Ac primum de Laurent. 28, 20, f. 258 (cf. *Catal. Flor.*, p. 4) asseverare satis erit eum aut ex Veneto aut certe ex gemello eius descriptum esse : nam vel in minimis cum illo conspirat, easdem corruptelas praebet, easdem lacunas. Multo maioris est momenti Laurentianus 86, 18, anno 1491 a Iohanne Rhoso exaratus (cf. supra. p. 77). Huic quoque cum Veneto multa menda sunt communia, ita ut appareat eum ex eodem archetypo fluxisse. Sed titulos cum libri totius tum singulorum capitum servavit, et variae eius lectiones sine ullo dubio interdum genuinae sunt. Immo, ubi totas sententias librarius Veneti omisit, rimas textus ex Laurentiano explere licet; velut in fine capituli de Capricorno (*Catal. Venet.*, p. 98, l. 7) addit haecce (f. 10v) : Κυριεύει δὲ τοῦ σώματος γονάτων καὶ νεύρων, ποιεῖ δὲ ἀμαυρώσεις καὶ πηρώσεις, μανίας τε καὶ ὀχλήσεις δι' ὑγρῶν καὶ ῥευμάτων. Item capitula de Virgine, Libra, Scorpio, Sagittario, quae in Marciano mutila sunt (*Catal. Venet.*, p. 96, not. ad v. 26), in libro Florentino multo pleniora traduntur. Quae hic ex integro edere visum est, ut de indole et necessitudine duorum codicum quisquis iudicare possit. Nescio enim utrum haec nova frustula ad Vettium Valentem referenda sint, an ex alio quodam fonte, fortasse ex Hephaestione, byzantinus quidam astrologus ea suppleverit; nam forma eorum cum argumento aliorum capitulorum de signis zodiaci non prorsus congruit.

Cum hoc libro Laurentiano affinitate quadam coniunctus est codex graecus, quem " inter reliquias Iohannis de Regiomonte [vixit 1436-1476] fere totum scriptum manu ipsius „ repperit Camerarius, et quo usus Vetti Valentis excerpta ex primo libro Floridorum latine versa edidit anno 1532 (*Astrologica*, Norimbergae, apud Ioh. Petreium, p. 48 ss.). F. C.

Περὶ φύσεως Παρθένου.

Παρθένος, οἶκος Ἑρμοῦ, θηλυκόν, πτερωτόν, ἀνθρωποειδές, λογικόν, δίσωμον, θερινόν, στειρῶδες, τρυφῆρες, σχῆμα Δίκης, ἑστός, δουλελεύθερον, ἄγονον, κατωφερές, γεῶδες, κοινόν, ἡμίφωνον καὶ ἄφωνον, σωματικόν, ἀτελές, εὐμετάβολον, ἐργαστηριακόν, διφυές· οἱ δὲ γεννώμενοι ἀγαθοί, αἰδήμονες, μυστικοί, πολυμέριμνοι, ποικίλως τὸν βίον διάγοντες, ἀλλοτρίων χειρισταί, πιστικοί, ἀγαθοὶ οἰκονόμοι, γραμματεῖς ἀπὸ λόγων ἢ ψήφων ἀναγόμενοι, ὑποκριτικοί, περίεργοι, ἀποκρύφων μύσται, τὰ πρῶτα ἀναλίσκοντες, ἐν δὲ τοῖς μέσοις εὐποροῦντες.

Ἔστι δὲ καθόλου μὲν δίυγρον καὶ βροντῶδες, κατὰ μέρος δὲ τὰ μὲν τοῦ πρώτου αὐτοῦ δεκανοῦ θερμότερά πως καὶ φθαρτικά, τὰ δὲ τοῦ δευτέρου εὔκρατα, τὰ δὲ τοῦ τρίτου ὑδατώδη· καὶ τὰ μὲν βόρεια αὐτοῦ πνευματώδη, τὰ δὲ νότια εὔκρατα· ὑπόκεινται δὲ αὐτῷ χῶραι· Μεσοποταμία, Βαβυλωνία, Ἑλλάς, Ἀχαΐα, Κρήτη, Κυκλάδες νῆσοι, Πελοπόννησος, Ἀρκαδία, Κυρήνη, Δωρίς, Σικελία, Περσίς.

Κυριεύει δὲ τοῦ σώματος κοιλίας καὶ τῶν ἐντὸς πάντων καὶ ἀποκρύφων.

Περὶ φύσεως Ζυγοῦ.

Ζυγός, οἶκος Ἀφροδίτης, ἀρρενικόν, τροπικόν, ἀνθρωποειδές, ἀνωφερές, ἀερῶδες ἰσημερινόν, θηλυνόμενον, φωνῆεν, ἀγαθόν, δίκαιον, εὐμετάβολον, πολύγονον, μετοπωρινόν, ὑπαρχόντων μειωτικόν, ὑπόγειον κόσμου, δημόσιον, ἐκλειπτικόν, προεστὸς καρπῶν, οἰνικῶν, ἐλαϊκῶν, μυρεψικῶν, σταθμῶν, μέτρων, ἐργαστηριακῶν. οἱ γεννώμενοι ἐν αὐτῷ ἀγαθοὶ μὲν καὶ δίκαιοι ἀλλὰ βάσκανοι, ἀλλοτρίων ἀγαθῶν ἐπιθυμηταί, μέτριοι, τὰ πρῶτα κτηθέντα ἀπολλύντες καὶ ἐν ὑψοταπεινώματι γινόμενοι, ἀνωμάλως βιοῦντες, προϊστάμενοι δὲ ἐπὶ μέτρων ἢ σταθμῶν ἢ εὐθηνίας.

Ἔστι δὲ ὁ Ζυγός, ὡς εἴρηται, καθόλου μὲν τροπικὸς καὶ μεταβολικός, κατὰ μέρος δὲ ὁ μὲν πρῶτος αὐτοῦ δεκανὸς καὶ ὁ δεύτερος εὔκρατος, ὁ δὲ τρίτος ὑδατώδης· καὶ τὰ μὲν βόρεια αὐτοῦ πνευματώδη, τὰ δὲ νότια ἄνικμα καὶ λοιμικά· ὑπόκεινται δὲ αὐτῷ χῶραι·

1 Titulum omis. V(enetus). 2-3 λογικόν - στειρῶδες omis. V. 3 τριφῆρες F(lorentinus). σχῆμα Δίκης] Cf. Boll, *Sphaera*, Index. ἑστώς V. 4 δίσωμον στειρῶδες δουλελεύθερον V : δουλευτήριον (cet. omiss.) F. 11-18 omis. V. 11 ss. Cf. Hephaest. ed. Engelbrecht, p. 55, 14 ss. 12 οὖν πρώτου cod. ; τοῦ πρώτου corr. Kroll. 14-16 Cf. Ludwich, *Maximi et Ammonis reliq.*, p. 116, 14 ss. 15 ἀλλάς cod. 19 Titulum omis. V. 21 ἰσημερινόν omis. V. φωνάεν V. δίκαιον omis. V. 22 πολυγ. μετοπ. omis. V. 23 προεστὼς V. 24 μυρεψικόν V. 25 ἐν αὐτῷ omis. V. 26 κτησθέντα F. 26-27 καὶ ἐν - βιοῦντες omis. F. 27-28 προϊστάμενοι ... εὐθηνίας] i. e fiunt aediles sive ἀγορανόμοι. 29-p. 181, 5 omis. V. 29 ss. Cf. Hephaest., *l. c.*, p. 57, 4 ss. 32 ἄνικμα cod. ; ἔνικμα Hephaestio.

Βακτριανή, Σηρική, Κασπειρία, Θηβαΐς, Ὦασις, Τρωγλοδυτική, Ἰταλία, Λιβύη, Ἀραβία, Αἴγυπτος, Αἰθιοπία, Καρχηδών, Σμύρνης ὅρος, Τύρος, Κιλικία, Σινώπη.

Κυριεύει δὲ τοῦ σώματος ἰσχίων καὶ γλουτῶν, βουβώνων τε καὶ κόλων, ὀπισθίων τε μερῶν καὶ κύστεως.

Περὶ φύσεως Σκορπίου.

Σκορπίος, οἶκος Ἄρεως, θηλυκόν, στερεόν, ὑδατῶδες, μετοπωρινόν, πολύσπερμον, φθοροποιόν, κατωφερές, ἄφωνον, δουλικόν, ἀμετάβλητον, λεπρῶδες, δυσωδίας αἴτιον, ὑπαρχόντων ἀφαιρετικόν, ἐκλειπτικόν, πολύπουν. οἱ δὲ γεννώμενοι ἐν τούτῳ δόλιοι, πονηροί, ἅρπαγες, φονικοί, προδόται, ἀμετάβλητοι, ὑπαρχόντων ἀφαιρετικοί, λαθρεπίβουλοι, κλῶπες, ἐπίορκοι, ἀλλοτρίων ἐπιθυμηταί, συνίστορες φόνων ἢ φαρμακειῶν ἢ κακούργων πραγμάτων, μισοΐδιοι.

Ἐστὶ δὲ ὁ Σκορπίος καθόλου μὲν βροντώδης καὶ πυρώδης, κατὰ μέρος <δὲ> ὁ μὲν πρῶτος αὐτοῦ δεκανὸς νιφετώδης, ὁ δὲ δεύτερος εὔκρατος, ὁ δὲ τρίτος σεισμῶν σημαντικός, καὶ τὰ μὲν βόρεια αὐτοῦ καυσώδη, τὰ δὲ νότια ἄνικμα. ὑπόκεινται δὲ αὐτῷ χῶραι Μεταγωνῖτις, Μαυριτανία, Γαιτουλία, Συρία, Κομμαγηνή, Καππαδοκία, Ἰταλία, Καρχηδών, Λιβύη, Ἀμμωνική, Σικελία, Ἰβηρία καὶ Ῥώμη.

Κυριεύει δὲ τοῦ σώματος αἰδοίων τε καὶ κύστεως, βουβῶνος καὶ ἕδρας, ποιεῖ δὲ διὰ τὸ κέντρον καὶ ἀμαυρώσεις, ἐπισκιασμούς, λιθιάσεις, στραγγουρίας, κήλας καὶ βροχοκήλας, ἀρρητοποΐας, πολυκοινίας, συριγγώματα, καρκινώματα καὶ αἱμορραγίας.

Περὶ φύσεως Τοξότου.

Τοξότης, οἶκος Διός, ἀρρενικόν, πυρῶδες, ἀνωφερές, φωνῆεν, κάθυγρον διὰ τὴν Ἀργώ, ἀγαθόν, πτερωτόν, εὐμετάβολον, δίδυμον, δίσωμον, διφυές, μετοπωρινόν, αἰνιγματῶδες, ὀλιγόγονον, ἡμιτελές, ἡγεμονικόν, βασιλικόν· οἱ δὲ γεννώμενοι ἐν αὐτῷ ἀγαθοί, δίκαιοι, μεγαλόψυχοι, κριτικοί, εὐμετάδοτοι, φιλάδελφοι, φιλόφιλοι· τὰ δὲ

1 συρική cod. καπηρία cod. Ὄασις Hephaestio, fors. recte. 1 ss. Cf. Odapsum apud Ludwich, *l. c.*, p. 116, 15 ss. 2 <Σίπυλος>, Σμύρνης ὅρος coni. Ludwich: Σμύρνη, Σῦρος, Τύρος Engelbrecht: legerem Σμύρνη, ὅρος Ταῦρος, Κιλικία. 4 ἰσχύων cod. 5 κώλων cod., corr. Kroll. 6 Titulum omis. V. 7 ἔστι δὲ θηλυκόν F. 7-8 μετοπωρινόν omis. V. 8 πολύσπορον F. 9 λεπρῶδες omis. V. 10 πολύπουν F: πολύχουν V. ἐν τούτῳ omis. V. 13 μισοΐδιοι quod pro δισοίδιοι codicis V conieceram, habet F. 14-19 omis. V. 14 ss. Cf. Hephaest., *l. c.*, p. 58, 28 ss. 15 δὲ suppl. 17 ἄνικα (*sic*) cod.: ἔνικμα Hephaest. μεταγωνίτης cod. 20-23 omis. V. 22 βροχοκήλας verbum novum, videtur in βρογχοκήλας (i. e. tumores in gutture) corrigendum esse. Attamen *hernie étranglée* nostrates quoque dicunt. πολυκοινίας vix sanum. 24 Titulum omis. V. 25 ἐστὶ δὲ ἀρρενικόν F. φωναεν V. 26 δίδυμον omis. V. 27 δίσωμον V: δίμορφον F. μετοπωρινόν omis. V. 28 ἐν αὐτῷ omis. V,

πρῶτα κτηθέντα μειοῦντες, πάλιν κτώμενοι, ἐχθρῶν καθυπερτεροῦντες, φιλόδοξοι, εὐεργετικοί, ἐπίσημοι, αἰνιγματωδῶς διαπλέκοντες τὰ πράγματα.

Ἐστὶ δὲ καθόλου μὲν πνευματώδης, κατὰ μέρος δὲ ὁ μὲν πρῶτος αὐτοῦ δεκανὸς δίυγρος, ὁ δὲ δεύτερος εὔκρατος, ὁ δὲ τρίτος πυρώδης. καὶ τὰ μὲν βόρεια αὐτοῦ πνευματώδη, τὰ δὲ νότια κάθυγρα καὶ μεταβολικά· ὑπόκεινται δὲ αὐτῷ χῶραι Τυρρηνία, Κελτική, Σπανία, Ἀραβία ἡ εὐδαίμων, Κιλικία, Κρήτη, Σικελία, Γαλατία, Ἰταλία, Ἰβηρία, Κύπρος, Ἐρυθρὰ θάλασσα, Κασπειρία καὶ τὰ περὶ τὸν Εὐφράτην ἔθνη, Μεσοποταμία, Καρχηδονία, Λιβυκὴ θάλασσα καὶ Ἀδριατικὸς κόλπος καὶ τὸ Ἀτλαντικὸν πέλαγος, Τριβαλλοί, Βακτριανοί, Αἴγυπτος καὶ οἱ σύνεγγυς τόποι.

Ἐστὶ δὲ ἀρσενικὸν τε καὶ μετοπωρινόν, κυριεύει δὲ τοῦ σώματος μηρῶν τε καὶ βουβώνων, ποιεῖ δὲ πολλάκις περιττομελεῖς καὶ φαλακροὺς καὶ ἐπιληπτικοὺς ἢ πόνους ὀφθαλμῶν ἢ πηρώσεις ὑπομένοντας διὰ τὴν ἀκίδα, ἀεὶ δὲ καὶ ἀπὸ τετραπόδων κίνδυνον ἢ μελῶν ἀποβολὰς ἢ ἀπὸ θηρίων κινδύνους. F. C.

1 κτησθέντα F. 4 ss. Cf. Hephaest., p. 60, 22 ss. 7 ἀρραβία cod. 9 κασπηρία cod.: κασπιανοί Hephaest. 11 ἀνδριαντικός cod., corr. τριβαλοί cod.

ADDENDA ET CORRIGENDA

P. 8, cod. 4, add. f. 42ʳ. Ἐκ τῶν τῆς Σελήνης σχημάτων τὰ κυριώτατα ἃ συντελοῦσιν εἰς τὰ ἀποτελέσματα (Μηνοειδὴς· ἀμφίκυρτος — ἐν ξηροτέρᾳ τῇ ὥρᾳ).

P. 8, f. 43ʳ, νϛ'. Maximi, cf. cod. Neap. 19, f. 412ʳ.

P. 9, f. 50ʳ. De Constantinopolis themate, cf. cod. Angel. 29, f. 326, cap. σμγ' in Catal. Romano.

P. 10, f. 56ʳ, πϛ'. Cf. p. 13, f. 68.

P. 12. Περὶ ἀνέμων προγνώσεως. Est Iuliani, cf. cod. Mutin. 11, f. 82.

P. 28, f. 13. Cf. p. 57, f. 386ʳ.

P. 29, f. 30ʳ-31ʳ. Cf. p. 57-58, f. 387-387ʳ.

P. 29, f. 30ʳ, pro ἡλιακῶν legendum ἡλικιῶν.

P. 30, v. 1-3, cf. p. 58, f. 392ʳ.

P. 31, f. 55ʳ, κϛ' = Paulus Alexandrinus, *Introd.* E, 1ᵛ.

P. 31, f. 79. Delenda " *immo Iuliani Laodicensis* " cf. p. 133, v. 22 ss.

P. 32, f. 84. Editum p. 110.

P. 33, f. 94ᵛ. Editum p. 145 s.

P. 33, cod. 12, f. 13. Cf. p. 66, cod. 25, f. 182-183.

P. 35, cod. 14, f. 2ʳ. Cf. p. 76, f. 119ʳ.

P. 43, f. 296ʳ ss. Cf. cod. Neap., 19, f. 31.

P. 43, f. 314ʳ-316ʳ. Editum ex cod. Neap. p. 158 ss.

P. 44, f. 334ʳ. Cf. p. 77, cod. 29, f. 137ᵛ.

P. 57, f. 379ʳ. Delenda " *immo Iuliani Laodicensis* "; cf. p. 133, v. 23 ss.

P. 83, n. 1. Fort. Theophili, cf. cod. Vindobon. 2, f. 17 ss. et 25.

P. 113 ss. Ad fragmenta de septem mundi aetatibus recte intelligenda, conferre iuvat Bardesanis Edesseni locum quem comiter nobis indicavit Theodorus Nöldeke. Eo magis probantur quae de origine orientali huius doctrinae coniecimus. Nam Syrus astrologus eosdem atque auctor byzantinus cursus planetarum praebet numeros; at illi sex non septem millibus annorum magnus anni mundus consistit. Haec enim ex libro deperdito Bardesanis excerpsit Georgius, Arabum episcopus, qui circa 700, p. C. floruit (Cureton, *Spicil. Syriac.*, p. 21 [p. 40]; cf. Ryssel, *Georg des Araberbischofs Gedichte und Briefe*, 1891, p. 48 et not. p. 171; Nau, *Bardesane, Le livre des lois du pays*, p. 59) : *Duo circuitus Saturni 60 anni, 5 circuitus Iovis 60 anni, 40 circuitus Martis 60 anni* [itaque p. 116, 19 legendum est διὰ μηνῶν

cum V], *60 circuitus Solis 60 anni, 72 circuitus Veneris 60 anni, 120* [*non 150, l.* ܩܟ *pro* ܩܢ] *circuitus Mercurii 60 anni, 720 circuitus Veneris 60 anni, et hoc est una synodus eorum omnium, id est tempus unius synodi eorum, ita ut inde appareat 100 huiusmodi synodos sex millia annorum efficere, hoc modo : 200 circuitus Saturni 6000 anni, 500 circuitus Iovis 6000 anni, 4000 circuitus Martis 6000 anni, 6000 circuitus Solis 6000 anni, 7200 circuitus Veneris 6000 anni, 12000 circuitus Mercurii 6000 anni, 72000 circuitus Lunae 6000 anni. Et Bardesanes haec ita computavit cum demonstrare vellet tantum sex millia annorum mundum mansurum.*

Sine dubio haec ad antiquos Chaldaeos referenda sunt, quibus sexaginta numerus solemnis erat, quamquam vestigia eiusdem doctrinae apud graecos repperiuntur (cf. Aetium ap. Diels, *Doxogr.*, 363, et Kroll ad *Procl. in R. P. Platonis*, II, 386, n. 2). Affinitatem quandam cum Bardesanis computationibus habent etiam quae apud Pseudo-Aristotelem, Περὶ κόσμου, c. 6 (p. 399ª 8, Bekker) et Apuleium, *De mundo*, cap. 28 inveniuntur.

P. 114, f. 93ᵛ, l. ἑπτὰ pro ἐπτά.

P. 118, v. 2. Pro κζ′ lege κθ′, cf. p. 115, 25.

P. 132, v. 6-7. Lege Μοροῆς, ΜιζΞαούλ.

INDEX CODICUM

Consensus Numerorum.

Taurinenses B, VI, 8 (b, III, 30)	=	cod.	1
„ C, III, 8	=	„	2
„ C, VI, 21 (b, VI, 18)	=	„	3
„ C, VII, 10 (b, VI, 12)	=	„	4
„ C, VII, 15 (c, I, 43)	=	„	5
Bergomas Δ, 5, 13	=	„	6
Parmensis 165 (HH, IX, 34)	=	„	7
Mutinenses 15 (III, A, 1)	=	„	8
„ 40 (II, B, 3)	=	„	9
„ 42 (II, B, 5)	=	„	10
„ 85 (III, C, 6)	=	„	11
„ 132 (III, D, 13)	=	„	12
„ 174 (II, F, 9)	=	„	13
„ 189 (III, F, 11)	=	„	14
„ 215 (III, G, 11)	=	„	15
„ 239 (III, F, 16)	=	„	16
Bononienses (Biblioth. Universit.) 2280	=	„	17
„ „ „ 3632	=	„	18
Neapolitani II, C, 33 (olim 34)	=	„	19
„ II, C, 34 (olim 35)	=	„	20
„ II, F, 21	=	„	21
„ III, AA, 7 (olim III, A. 7)	=	„	22
„ III, C, 13	=	„	23
„ III, C, 20	=	„	24
„ III, E, 19	=	„	25
„ III, E, 27	=	„	26
Messanensis F, A, 9	=	„	27
Florentini (Laurentiani) XXVIII, 43	=	„	28
„ „ LXXXVI, 14	=	„	29
„ „ LXXXVI, 17	=	„	30
„ „ LXXXVI, 18	=	„	31

S(criptores) P(ossessores) codicum.

Annorum notae in codd. obviae.

Mensis	martius	a. 1389	=	cod.	4.
„	ποιανεψιών	a. 1488	=	„	13.
„	october	a. 1490	=	„	9.
„	maius	a. 1491	=	„	31.
„	iunius	a. 1495	=	„	19.
		Annus 1565	=	„	1.

INDICES NOMINUM

Numeri priores paginam et versum designant, posteriores uncis inclusi codicem et folium.

I. NOMINA SCRIPTORUM

II. NOMINA CETERA

TABULA ARGUMENTI

CATALOGUS CODICUM

APPENDIX

EXCERPTA EX CODICE 4 (TAURIN. C. VII, 10)

EXCERPTUM EX CODICE 10 (MUTIN. 42)


EXCERPTA EX CODICE 11 (MUTIN. 85)

EXCERPTUM EX CODICE 13 (MUTIN. 174)

Bruxellis. — Typis Polleunis & Ceuterick.

Explicatio characterum quibus astronomica vocabula insignuntur.

Ex codice Laurentiano XXVIII, 14, f. 309 (*Catal.*, I, p. 37).



ALIA EXPLICATIO EX EODEM CODICE F. 309v.

